Αἰσχύλ. Προμ. 804 «τόν τε *μουνῶπα* στρατὸν Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου». Εὐριπίδ. Κύκλ. 21 «ἵν' οἱ *μονῶπες* ποντίου παῖδες θεοῦ Κύκλωπες οἰκοῦσ' ἄντρ' ἔρημ' ἀνδροκτόνοι» καὶ 648 «ὑφάπτειν τὸν *μονῶπα* παῖδα γῆς». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς στίχ. 31 «Ὅτι ἔθνος Σκυθικὸν οἱ Ἀριμασποί· καὶ τούτους οὗτος μὲν ἀρειμανέας ἢ ἀρειμανίους λέγει, Αἰσχύλος δὲ *μονῶπα στρατὸν* ὀνομάζει, διότι τοξικώτατοι ὄντες ἐπιμύουσι τὸν ἕτερον ὀφθαλμὸν διὰ τὸ πρὸς τὴν βολὴν εὔστοχον» καὶ μετ' ὀλίγα «Καὶ αὐτὸ δὲ τοῦτο Ἀριμασποί, καθὰ καὶ Ἡροδότῳ δοκεῖ, ἐκ τοῦ τοιούτου πάθους καλοῦνται, ὡς οἷον εἰπεῖν μονόφθαλμοι· *ἀρὶ (ἄρι)* μὲν γὰρ τὸ ἓν σκυθιστί, *μασπὸς* δὲ ὁ ὀφθαλμός». Πρβ. καὶ Σχολ. Αἰσχ. Προμ. 805 «Ἀριμασποὶ καλοῦνται διὰ τὸ ἕνα ὀφθαλμὸν ἔχειν· *ἄρι* γὰρ κατὰ γλῶσσαν τὸ ἓν καὶ *μασπὸς* ὁ ὀφθαλμός, καὶ αὐτὸ κατὰ γλῶσσαν». Ἠθέλησαν δέ τινες καὶ τὸ παρὰ τῷ Ἡροδότῳ ἀναγινωσκόμενον βιβλ. Δ', 27 «*ἄριμα* γὰρ ἓν καλέουσι Σκύθαι, *σποῦ* δὲ τὸν ὀφθαλμόν» νὰ μετατυπώσωσιν εἰς τὸ «*ἄρι* γὰρ (τὸ) ἓν καλέουσι Σκύθαι, *μασπὸς* δὲ τὸν ὀφθαλμόν» (Ἴδε Ἄλβερτον εἰς *Ἡσύχ*. Τόμ. Α', σελ. 531 καὶ Βαλκενάριον εἰς *Ἡρόδ.* σελ. 440 Οὐεσσ. Πρβ. καὶ Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Β', σελ. 351 ἐκδ. β'). Σημειωτέον δ' ὅτι τὸ ὑγιὲς εἶνε *μονώψ*, πλημμελῶς δ' ἔχει ἡ παροξύτονος ἐκφορὰ *μόνωψ*. Ἀρκάδ. περὶ Τόν. σελ. 94, 22 «Τὰ εἰς ΩΨ πολυσύλλαβα, κύρια ὄντα ἢ προσηγορικά, βαρύνονται — Τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, ὑπεσταλμένων τῶν ὑποπεπτωκότων κυρίοις ἢ τῶν ἰδιαζόντων· *μονώψ* ὁ μονόφθαλμος, κελαινώψ, τυφλώψ».

Εὐριπίδ. Κύκλ. 78 «ἐγὼ δ' ὁ σὸς πρόσπολος θητεύω Κύκλωπι τῷ *μονοδέρκτᾳ*». Πρβ. Ἡσύχ. «*Εὐδαρκής*: εὐόφθαλμος». Νομίζε-

ται δ' ὅτι τὸ *εὐδαρκής* εἶνε ἀντὶ τοῦ *εὐδρακής* ἢ τοῦ *εὐδερκής*. Ὁ Δινδόρφιος ἐν τῷ Σοφοκλείῳ Λεξικῷ σελ. 197 γράφει «Corrupte apud Hesychium εὐδαρκής: εὐόφθαλμος, quod ex εὐδρακής potius corruptum videtur quam ex εὐδερκής, quo Maximus in carmine περὶ καταρχῶν usus est». Ὁμοίως τῷ *εὐδερκής*, ὅπερ κύριον ὄνομα γινόμενον παροξύνεται *Εὐδέρκης*, εἶνε ἐσχηματισμένα καὶ ἄλλα ἐπίθετα ἐκ τοῦ *δέρκομαι* συγκείμενα, οἷον *ἀδερκής*, *γλαυκοδερκής*, *δυσδερκής*, *θεοδερκής*, *λιθοδερκής*, *μεσοδερκής*, *νεκροδερκής*, *ὀξυδερκής*, *πανδερκής* καὶ *παντοδερκής*, *πολυδερκής*. Ἐλέχθη δὲ καὶ *πανδερκέτης*, περὶ οὗ ἀλλαχοῦ. Τὸ παρὰ τῷ Φαβωρίνῳ κείμενον *ἀναδάρκης* (*ἀναδαρκής*) τρέπεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου εἰς τὸ *ἀδαρκής* (Τόμ. Α', β', σελ. 344). Περὶ τοῦ *ἀνωδάρκας* ἴδε Μεινέκιον ἐν *Ἀναλ. Κριτ. εἰς Ἀθην. Δειπνοσ.* σελ. 297.

Λυκόφρ. 659 «ὃς ὄψεται μὲν τοῦ *μονογλήνου* στέγας χάρωνος». Ἀνθολ. Παλατ. Ζ', 748 «τίς τόδε *μουνόγληνος* ἅπαν δωμήσατο Κύκλωψ λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος;». Νόνν. Διονυσ. ΚΗ', 226 «μέσῳ σελάγιζε μετώπῳ μαρμαρυγὴ τροχόεσσα *μονογλήνοιο* προσώπου». Περὶ τοῦ παρὰ τῷ Λυκόφρονι *χάρωνος* ἴδε Leipz. Stud. Τόμ. Ζ', σελ. 307 κἑξ. Ὀρθῶς ὁ Σοπίγγιος ἀνέγνω παρ' Ἡσυχίῳ «*Μονόγληνος*: μονόφθαλμος» ἀντὶ τοῦ *μονόσληνος*. Παρὰ τῷ Καλλιμάχῳ ἐν τῷ εἰς Ἄρτεμιν Ὕμνῳ στίχ. 53 φέρεται «πᾶσι δ' ὑπ' ὀφρὺν *φάεα μουνόγληνα* σάκει ἶσα τετραβοείῳ», ὅπερ ἐκάκισεν ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1861, σελ. 421 γράψας «Poëta quum exquisite vellet dicere plane aliud dixit quam volebat. Habemus omnes φάεα μουνόγληνα, sed credebat Callimachus se ita dicere posse Cyclopes esse μονοφθάλμους, quae eum opinio fefellit». Ὡς ἐλέχθη ὑπὸ τοῦ Λυκόφρονος *μονόγληνος* ἀντὶ τοῦ *μονόφθαλμος*, οὕτω καὶ ὑπὸ τοῦ Καλλιμάχου *μουνόγληνα* ἀντὶ τοῦ *μονόφθαλμα*· ἐπειδὴ δὲ τὸ *φάεα* εἶνε εἰλημμένον ἀντὶ τοῦ *ὄμματα*, ὡς ὑπέμνησε καὶ ὁ Σπαννέμιος ἐν ταῖς εἰς Καλλίμαχον Παρατηρήσεσι (*Καλλιμ.* Τόμ. Β', σελ. 206 Ἐρν.), τὸ *φάεα μονόγληνα* ἰσοδυναμεῖ τῷ *ὄμματα μονόφθαλμα*, ᾧ ἐμφερὲς ὑπάρχει τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν Τόμ. Γ', σελ. 59, 11 «τὰ δ' *ὄμματα* πάντων τούτων ἐστὶ *σκληρόφθαλμα*». Ὁμοίας χρήσεως παραδείγματα παρέθετο ὁ Λοβέκκιος ἐν τοῖς Παραλειπομένοις σελ. 371 κἑξ. καὶ ὁ

Ὄθ. Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α΄, σελ. 213. Οὐκ ὀλίγα δ' ἐπίθετα ὑπάρχουσιν ἐκ τοῦ *γλήνη* συγκείμενα, οἷον *ἄγληνος*, *βοόγληνος*, *δίγληνος*, *ἐρίγληνος*, *εὔγληνος* ἢ *ἐΰγληνος*, *θεόγληνος*, *λιθόγληνος*, *λιπόγληνος* (*νεόγληνος*), *πολύγληνος*, *πυρίγληνος*, *τανύγληνος*. Σουίδ. «*Πολύγληνον*: πολυόμματον· οἷα πολύγληνον βουκόλον Ἰναχίης· ἐν ἐπιγράμμασιν». Φιληδεῖ δὲ τοῖς τοιούτοις ἐπιθέτοις ὁ Νόννος, ὡς γίνεται φανερὸν ἐξ ὧν κατέλεξεν αὐτοῦ χωρίων ὁ Ὄθ. Σνειδῆρος ἐν τῷ προρρηθέντι βιβλίῳ Τόμ. Α΄, σελ. 213. Παρὰ τῷ Ἡσυχίῳ εὑρίσκομεν «*Μελίγληνος*: ἡδυόφθαλμος». Ἀπαντᾷ δὲ καὶ ἐπίθετον *τρίγληνος* ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 325 α΄ «τῇ δὲ Ἑκάτῃ ἀποδίδοται ἡ τρίγλη διὰ τὴν τῆς ὀνομασίας κοινότητα· τριοδῖτις γὰρ καὶ *τρίγληνος*». Ἐν τοῖς ἑξῆς γράφει ὁ Ἀθήναιος (σελ. 325 β΄) «Ἀπολλόδωρος δ' ἐν τοῖς περὶ θεῶν τῇ Ἑκάτῃ φησὶ θύεσθαι τρίγλην διὰ τὴν τοῦ ὀνόματος οἰκειότητα· *τρίμορφος* γὰρ ἡ θεός» (Ἴδε Κασαύβωνα ἐν *Παρατηρ. εἰς Ἀθην. Δειπνοσ.* σελ. 562 καὶ Θησ. Στεφ. Τόμ. Ζ΄, σελ. 2423). Ὅτι δὲ ἡ λέξις *γλήνη* ἐλαμβάνετο καὶ ἀντὶ τοῦ *ὀφθαλμός* ἀποδείκνυται ἔκ τ' ἄλλων χωρίων καὶ τοῦ παρὰ τῷ Ἡρωδιανῷ ἐκ τοῦ Ἑρμησιάνακτος μνημονευομένου ἐν τῷ περὶ Μονήρους Λέξεως σελ. 16,12 «Οὐκ ἀντιθήσει τις ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου Α΄· δερκόμενος πρὸς κῦμα, μόνη δέ οἱ ἐφλέγετο γλήν. Οὐ γὰρ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη» (Πρβ. Λουκᾶν ἐν ***Quaest. Lexilog.*** βιβλ. Α΄, σελ. 16 καὶ Ἀρήνσιον ἐν ***Beitr. z. Griech. u. Lat. Etym.*** Μέρ. Α΄, σελ. 141. Ἔτι δὲ Θησ. Στεφ. Τόμ. Β΄, σελ. 642). Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Τρίγληνα: πολυθέατα· *γλῆναι* γὰρ οἱ *ὀφθαλμοί*· τρίκοκκα, τριόφθαλμα, πολυειδῆ». Ἀλλ' ὁ σοφιστὴς Ἀπολλώνιος Λεξ. Ὁμηρ. σελ. 154, 24 γράφει «Τρίγληνα: ὁ μὲν Ἡλιόδωρος τρίκορα εἶπε· *γλήνη* γὰρ ἡ *κόρη* τοῦ ὀφθαλμοῦ — ὁ δὲ Ἀπίων βέλτιον πολύγληνα· *γλήνη* γὰρ ἡ *κόρη*· ὥστε εἶναι πολυθέατα, πολλῆς θέας ἄξια». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 601, 1 καὶ Σουίδ. σελ. 1043 Βεκκ. (Ἴδε καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Β΄, σελ. 344). Ἄξια παραθέσεως εἶνε καὶ τὰ ὑπὸ τοῦ Εὐσταθίου γεγραμμένα ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 976,35 «Τρίγληνα δὲ ἢ τὰ ἀξιοθέατα καὶ πολλῆς γλήνης ἄξια ἤτοι θέας — ἢ τὰ ἐκ τριῶν τινων ζῴων σύνθετα· οἱ δέ φασι τριό-

φθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριοττίδας καλοῦσιν — Ἰστέον δὲ ὅτι καὶ οἱ ἀξιοθέατα εἰπόντες τὰ τρίγληνα καὶ οἱ τριόφθαλμα διὰ τὴν γλήνην οὕτως ἐνόησαν, δι' ἧς ὀφθαλμοῦ κόρη δηλοῦται» (Πρβ. Θησ. Στεφ. λ. *τριόττης - τριοττίς* καὶ Leipz. Stud. Τόμ. Η΄, σελ. 260). Σημειωτέον δ' ὅτι ὁ Θεόκριτος εἶπεν Εἰδ. ΚΕ΄, 241 «ὁ δέ μ' εἶδε *περιγληνώμενος* ὄσσοις», τουτέστι: *περιβλέπων*.

Ἐζητεῖτο παρὰ τοῖς παλαιοῖς ἂν ὁ ὑπὸ τοῦ Ὀδυσσέως τυφλωθεὶς Κύκλωψ ἦτο κατὰ τὸν Ὅμηρον *μονόφθαλμος*, τοιούτων τῶν Κυκλώπων ὄντων πάντων, ἢ *ἑτερόφθαλμος* ἀπολέσας ἢ πηρωθεὶς τὸν ἕτερον ὀφθαλμόν.

Μακρὸς περὶ τούτου γίνεται λόγος ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις Ι, 106 «Γελοίως δ' αὐτοὺς ἐτυμολογεῖ Ἡσίοδος· Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ. Ὁ δ' Ὅμηρος φαίνεται φύσιν αὐτῶν λέγων. Εἰ γὰρ ἦν τι τοιοῦτον, ὥσπερ τὰς ἄλλας ἰδιότητας τῶν ὀφθέντων ἔγραψεν ἐπ' αὐτοῦ Κύκλωπος, τὸ μέγεθος, τὴν ὠμότητα, οὕτω κἂν τὸ περὶ ὀφθαλμοῦ ἔγραψε. Φησὶ δὲ ὁ Φιλόξενος ὅτι ἐπλάνησε τὸν Ἡσίοδον τὸ τὸν ἕνα ὀφθαλμὸν τυφλωθέντα μηκέτι ὁρᾶν. Οὔτε δὲ περὶ πάντων τῶν Κυκλώπων εἶπε τοῦτο Ὅμηρος εἰκός τε τὸν Πολύφημον κατά τινα ἄλλην αἰτίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀπολωλεκέναι πρὸ τῆς Ὀδυσσέως ἀφίξεως. Οἱ δὲ ἀντιλέγοντες τούτῳ φασίν· εἰ δύο εἶχεν ὀφθαλμοὺς καὶ τὸν ἕνα Ὀδυσσεὺς ἐτύφλωσε, πῶς συμφωνήσει τὸ ὑπ' αὐτοῦ λεγόμενον· Κύκλωψ, εἰ καί τίς σε καταχθονίων ἀνθρώπων εἴρηται ἀεικελίην ἀλαωτύν; οὐκ εἶπεν ὀφθαλμῶν· ἔτι δὲ καὶ τὸ προκείμενον παρὰ τοῦ Κύκλωπος ὅτι δύναταί μου ὁ Ποσειδῶν ἰάσασθαι τὸν ὀφθαλμόν· εἰ γὰρ ἦν ἑτερόφθαλμος ἤδη ὑπάρχων, ἔλεγεν ἂν αὐτῷ Ὀδυσσεύς· καὶ πῶς τὸν ἕτερον οὐκ ἐθεράπευσεν; ἀλλ' εἶπεν ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων. Δι' αὐτοῦ δὲ τούτου ἀπολογοῦνται περὶ τοῦ εἶναι αὐτὸν διόφθαλμον, διὰ τοῦ εἰπεῖν· εἰ τὸν πρῶτον πηρωθέντα ὀφθαλμὸν οὐκ ἐθεράπευσεν, οὐδὲ τοῦτον ἰάσεται». Ἐν Ὀδυσσ. Ι, 502 κεῖται «εἴ *κέν* τίς σε *καταθνητῶν* ἀνθρώπων». Ἀντὶ τοῦ «οὕτω *κἂν* τὸ περὶ ὀφθαλμοῦ ἔγραψε» ἔχουσι τἀντίγραφα *καί*, ὅπερ ἐπηνώρθωσεν ὁ Βουτμαννός. Ἠθέλησε δ' οὗτος ν' ἀναγνωσθῇ καὶ «εἰ *γοῦν* ἦν τι τοιοῦτον», ὅπερ ἐνέκρινεν ὁ Πόλακος. Ἐγράφη

δ'ὑπὸ τοῦ Πολάκου καὶ «φαίνεται (τὴν) φύσιν αὐτῶν λέγων» καὶ «ἐπ' αὐτοῦ (τοῦ) Κύκλωπος» καὶ «τὸ περὶ (τοῦ) ὀφθαλμοῦ» (*Ad Odyss. eiusque Schol. Cur. Sec.* σελ. 36) Ἡμῖν ἀρέσκει μᾶλλον τὸ «φαίνει *τὴν* φύσιν» καὶ «*ἐπὶ τοῦ* Κύκλωπος».

Κεῖται δὲ καὶ ἐν Κραμ. Ἀνεκδ. Ὀξ. Τόμ. Α', σελ. 254, 9 «Ἀλλ' οὐδὲ ἦσαν πάντες μονόφθαλμοι· οὐ γὰρ ἂν ἐσίγησεν Ὅμηρος τὸ τεράτευμα. Ἀλλ' οὐδὲ ὁ Πολύφημος μονόφθαλμος ὢν παρὰ τὸ μέτωπον εἶχε τὴν θέσιν τοῦ ὀφθαλμοῦ. Ἐκλάσθησαν δὲ καὶ ἐθάμβησαν τὸ μέγεθος ἰδόντες ὀφθαλμόν (ὀφθαλμοῦ), οὐκ ἐνεκρώθησαν ἐπὶ τῇ μορφῇ· ἔδει γὰρ Ὅμηρον εἰπόντα·

ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ,
δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.

προσεπιζεῦξαι τοιοῦτόν τι·

μοῦνον τ' ὀφθαλμὸν μέσσον ἐόντα μετώπῳ».

Πρβ. καὶ Τόμ. Β', σελ. 457,9 καὶ Ἐτυμολ. Γουδιαν. σελ. 352,51. Ἔτι δὲ καὶ Κώδ. Σορβ. Ἐτυμ. Μεγ. σελ. 544, 7 (σελ. 1550 Γαισφ.), ἐν ᾧ εἶνε γεγραμμένον :

μοῦνόν τ' ὀφθαλμὸν μέσῳ ἓν ἐόντα μετώπῳ.

Ἐκ τούτου δὲ πορίζόμεθα τὴν γνησίαν ἐκφορὰν οὖσαν (ὡς παρετήρησε καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 106):

μοῦνόν τ' ὀφθαλμὸν μέ Σ Σ ῳ ἐ ν ε ό ν τ α μετώπῳ.

Ἴδε καὶ Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α', σελ. 935.

Φέρεται δὲ καὶ εἰς Ὀδυσσ. Ι, 257 σχόλιον ἔχον ὧδε· «αὐτόν τε πέλωρον: θαυμάσιον καὶ ἄγαν φοβερὸν ἰδεῖν· ἐχρῆν δὲ φάναι, εἴπερ αὐτὸν ἴδῃ (γρ. *ᾔδει*) μονόφθαλμον, καὶ τοῦτο αὐτὸ ἐπισημήνασθαι ὑποτάξαντα· μόνον ὀφθαλμὸν ἐν τῷ μέσῳ ἔχοντα». Ἀναγνωστέον δ'ἴσως «ἐχρῆν δέ, *φασίν*, — καὶ τοῦτο *αὐτὸν* (δηλ. τὸν ποιητὴν) ἐπισημήνασθαι ὑποτάξαντα· *μοῦνόν* τ' ὀφθαλμὸν *μέσσῳ ἐνεόντα (μετώπῳ)*». Πρβ. καὶ Πόλακον *Ad Odyss. eiusque Schol. Cur. Sec.* σελ. 35 κέξ.

Ἄξια μνείας εἶνε δύο ἕτερα σχόλια, τὸ εἰς Ὀδυσσ. Ι, 383 «Ὁ Κύκλωψ κατὰ μὲν Ὅμηρον οὐκ ἦν μονόφθαλμος φύσει, ἀλλὰ κατά τινα συντυχίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀποβεβλήκει· δύο γὰρ ὀφρύας εἶχε· φησὶ γάρ· πάντα δὲ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὗσεν ἀϋτμή» καὶ τὸ εἰς Ὀδυσσ. Α, 69 «Οὐκ ἦν δὲ μονόφθαλμος ὁ Κύ-

κλωψ καθ' Ὅμηρον, ὡς καθ' Ἡσίοδον· φησὶ γοῦν· πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας (εὗσεν ἀϋτμή), οὐχ ὡς Θεόκριτος· οὕνεκά μοι πλατεῖα μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ. Μονόφθαλμος οὖν ἦν καθ' Ὅμηρον, τοῦ ἑνὸς αὐτοῦ ὀφθαλμοῦ προτυφλωθέντος». Πλημμελῶς ἔχει τὸ ἐν τῇ ῥήσει τοῦ Θεοκρίτου *πλατεῖα*, τὸ δ' ὑγιὲς εἶνε *λασία*. Ἵνα δὲ μὴ αὐτὸς ἑαυτῷ ἐναντιολογῇ ὁ γράψας τὸ σχόλιον τοῦτο, ἀναγνωστέον «*ἙΤΕΡόφθαλμος* οὖν ἦν καθ' Ὅμηρον», ὡς συμβουλεύει ὁ πρύτανις τῶν κριτικῶν καὶ ἀγαπητότατος ἡμῖν διδάσκαλος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 105 κέξ. ἀποφαινόμενος ὅτι ἡ ἐν τοῖς ἀρτίως μνημονευθεῖσι σχολίοις περὶ τοῦ Κύκλωπος παρατήρησις εἶνε τοῦ Ἀριστάρχου. Τῷ Κοβήτῳ συμφωνεῖ καὶ ὁ Πόλακος (*Ad Odyss. eiusque Schol. Cur. Sec.* σελ. 27), ἀνὴρ δεξιώτατος περὶ τὰ Ἑλληνικὰ γράμματα καὶ ἡμῖν φίλτατος, ᾧ πολλάκις συμπεριεπατήσαμεν καὶ συνεδειπνήσαμεν καὶ συνεφιλολογήσαμεν ἐν τῇ ὑπὸ χρηστῶν, καθόλου εἰπεῖν, καὶ ἀκάκων ἀνθρώπων κατοικουμένῃ Ὀλλανδίᾳ. Μεταβάλλει δ' οὗτος καὶ τὸ «Οὐκ ἦν *δὲ* μονόφθαλμος ὁ Κύκλωψ καθ' Ὅμηρον» εἰς τὸ «Οὐκ ἦν *ἄρα* μονόφθαλμος κτέ.». Δοξάζει δὲ προσέτι (σελ. 33) ὅτι εὐαρμοστότερον ὑπάρχει τὸ «ἀλλὰ κατά τινα συντυχίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν *ἀποβεβληκώς*» τοῦ *ἀποβεβλήκει*.

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς γεγραμμένα σελ. 1392, 35 «Σημείωσαι δὲ ὅτι Ὅμηρος ὀφθαλμοῦ Κύκλωπος μνησθεὶς οὐκ ἐπισημαίνεται εἴτε, δυοῖν ποτε ὄντοιν αὐτῷ καὶ θατέρου σβεσθέντος, εἶτα Ὀδυσσεὺς καὶ τὸν λοιπὸν ἠφάνισεν εἴτε καὶ ἐκ γενετῆς ἕνα εἶχε. Θεόκριτος δὲ ἀκολουθῶν οἷς φησιν Ἡσίοδος περὶ τῶν μυθικῶν Κυκλώπων, ὧν ἑκάστῳ κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ, φησὶν ὅτι τῷ Κύκλωπι ἕνα ἔχοντι γλυκὺν ὀφθαλμόν, ᾧ ἑώρα, ὀφρὺς μία ἐξ ἑτέρου ὠτὸς εἰς ἕτερον τέτατο» καὶ σελ. 1622, 38 «Οὐ καὶ τὸ μονόφθαλμον λίαν ἔχει πιθανῶς· εἰ γὰρ δύο εἶχεν ὁ πελώριος οὗτος θὴρ ὀφθαλμούς, ἀμήχανον ἦν ἐκτυφλῶσαι αὐτόν» καὶ σελ. 1622, 46 «Δοκεῖ δὲ ὁ ῥηθεὶς Κύκλωψ φύσει μὲν δύο ἔχειν ὀφθαλμούς, εἴ γε καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ Ὅμηρος βλέφαρα καὶ ὀφρύας εἶναι αὐτῷ, κατὰ δέ τινα αἰτίαν εἰκὸς προαπολωλέναι αὐτῷ τὸν ἕτερον ὀφθαλμόν. Εἰ δέ γε κυκλοτερὴς ὀφθαλμὸς εἷς κατὰ τὸν Ἡσιόδου μῦθον καὶ τῷ τοῦ Κύκλωπος τούτου μετώπῳ ἐνέκειτο, οὐκ ἂν ἐσίγησε τὴν ἰδιότητα ὁ ποιητής. Ἄλλως δέ γε οὐδὲ

Ἡσίοδος περὶ τοῦ Κύκλωπος τούτου ἢ τῶν λοιπῶν συγκυκλώπων τὸν λῆρον λόγον ἐκεῖνον ἐξεφύσησεν, ἀλλὰ περί τινων τριῶν, οἳ καὶ τὸν κεραυνὸν ἐχάλκευον τῷ Διί· οἷς ὀνόματα Βρόντης, Στερόπης καὶ Ἄργης. Θεόκριτος μέντοι καὶ περὶ τούτου οὕτω δοξάζει λέγων μίαν ὀφρὺν τετάσθαι αὐτῷ ἀπὸ τοῦ ἑνὸς ὠτὸς ἐπὶ θάτερον» καὶ σελ. 286, 23 «Ὑπὸ τούτων γοῦν, φασί, τῶν Κυκλώπων ἐτειχίσθη τὸ Ἄργος, οὐ μὴν ὑπὸ τῶν Σικελικῶν, οἷς οὐδὲν κοινὸν πρὸς τούτους τρεῖς μόνους ὄντας ἢ ἑπτὰ κατά τινας, ὧν ἑκάστῳ εἷς ὀφθαλμὸς ἐνέκειτο μετώπῳ κατὰ Ἡσίοδον».

Ὑπὸ τοῦ Ἡσιόδου ἐλέχθη ἐν τῇ Θεογονίᾳ στίχ. 139 κἑξ.:

> Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
> Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,
> οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν.
> Οἳ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
> μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ·
> Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
> κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ.

Τοῖς ὑπὸ τοῦ Ἡσιόδου περὶ τῶν Κυκλώπων εἰρημένοις συνᾴδουσι τὰ παρὰ τῷ Ἀπολλοδώρῳ βιβλ. Α', α', 2 «μετὰ τούτους δὲ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου». Ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 106 ἔγραψε «Κύκλωπες δ' ὄνομ' ἦσαν *ἐπώνυμΟΙ*». Ἀλλ' ἔν τε τῇ Θεογονίᾳ τοῦ Ἡσιόδου καὶ ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις κεῖται κατὰ τἀντίγραφα «Κύκλωπες δ' ὄνομ' ἦσαν *ἐπώνυμΟΝ*». Τὴν γραφὴν *ἐπώνυμοι* βλέπει τις ἐν τῷ Μεγ. Ἐτυμολ. σελ. 544, 7 καὶ ἐν τοῖς Κραμ. Ἀνεκδ. Ὀξ. Τόμ. Β', σελ. 457, 1. Ἐποιήσατο δ' αὐτῆς μνείαν ὁ Μυτζέλιος ἐν τῷ Περὶ Διορθώσεως τῆς Ἡσιοδείου Θεογονίας συγγράμματι αὐτοῦ σελ. 412. Σημειωτέον δ' ὅτι ὑπὸ μὲν τοῦ Οὐολφίου ἀθετοῦνται οἱ δύο τῆς Θεογονίας στίχοι 144 - 145, ὑπ' ἄλλων δὲ ὀβελίζονται οἱ πέντε αὐτῆς στίχοι 142-146. Ἴδε Φλάχιον εἰς *Ἡσίοδ. Γοιτλιγγ*. σελ. 22 καὶ Κοιχλῦν εἰς *Ἡσίοδ*. σελ. 15. Πρβ. καὶ Μυτζέλιον ἐν τῷ *Περὶ Διορθ. Θεογ. Ἡσιοδ*. σελ. 409 κἑξ. καὶ Λεννήπιον εἰς *Ἡσιόδ. Θεογ*. σελ. 200.

Ἕτεροι δὲ προφανῶς τῶν Ὁμηρικῶν Κυκλώπων εἶνε οἱ Ἡσιόδειοι, παῖδες ὄντες τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς. Ὁ Πολύφημος κατὰ

τὸν Ὅμηρον εἶχε πατέρα μὲν τὸν Ποσειδῶνα, μητέρα δὲ τὴν νύμφην Θόωσαν. Ὀδυσσ. Α, 70:

ἀντίθεον Πολύφημον, ὅου κράτος ἔσκε μέγιστον
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέσσι (σπέεσι) γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.

Ἴδε Σχοιμαννὸν ἐν *Opusc. Academ.* Τόμ. Δ', σελ. 325. Ἱκανὴ περὶ τοῦ προκειμένου διάληψις γίνεται ἐν τῷ ὑπὸ τοῦ Ἐβελιγγίου ἐκδοθέντι Ὁμηρικῷ Λεξικῷ Τόμ. Α', σελ. 936. Πρβ. καὶ Leipz. Stud. Τόμ. Ζ', σελ. 142.

Ἐν τῷ ἐπιγραφομένῳ *Κύκλωψ* εἰδυλλίῳ τοῦ Θεοκρίτου ὁ Πολύφημος ἐρῶν τῆς Γαλατείας λέγει πρὸς αὐτὴν ἄλλα τε καὶ τάδε στίχ. 30 κέξ.:

γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά,
εἷς (ἧς) δ' ὀ φ θ α λ μ ὸ ς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.

Κεῖται δὲ καὶ ἐν στίχ. 52:

καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀ φ θ α λ μ ό ν, τῶ μοι γλυκερώτερον οὐδέν.

Οὐ μόνον δ' ὑπὸ τοῦ Θεοκρίτου ἐνομίζετο ὅτι ὁ Πολύφημος ἕνα ὀφθαλμὸν ὑπὸ μιᾷ ὀφρύϊ εἶχεν, ἀλλὰ καὶ ὑφ' ἑτέρων ἐδοξάζετο ὅτι αὐτός τε καὶ οἱ λοιποὶ Κύκλωπες μονόφθαλμοι ἦσαν. Καὶ ὁ Εὐριπίδης εἶχε τοιαύτην γνώμην περὶ τῶν Κυκλώπων, οὓς καὶ *μονῶπας* ὠνόμασε, καὶ ὁ Κρατῖνος, ὡς εἴδομεν ἐν τοῖς ἔμπροσθεν, καὶ ὁ Ἑρμησιάναξ καὶ ὁ Καλλίμαχος καὶ ἄλλοι.

Εὐριπίδ. Κύκλ. 21 «ἵν' οἱ *μονῶπες* ποντίου παῖδες θεοῦ Κύκλωπες οἰκοῦσ' ἄντρ' ἔρημ' ἀνδροκτόνοι» καὶ 76 «ἐγὼ δ' ὁ σὸς πρόπολος θητεύω Κύκλωπι τῷ *μονοδέρκτᾳ*» καὶ 648 «ὑφάπτειν τὸν *μονῶπα* παῖδα γῆς». Πρβ. καὶ στίχ. 174 «τὴν Κύκλωπος ἀμαθίαν κλάειν κελεύων καὶ *τὸν ὀφθαλμὸν μέσον*»· ἔτι δὲ στίχ. 474 «εἰ τοῦ (γρ. *τὸν*) Κύκλωπος τοῦ κακῶς ὀλουμένου *ὀφθαλμόν*, ὥσπερ σφηκιάν, ἐκθύψομεν» καὶ στίχ. 627 «ἔστ' ἂν *ὄμματος ὄψις* Κύκλωπος ἐξαμμιληθῇ (Κόβ.: *ἐξαμαλδυνθῇ*) πυρί» καὶ στίχ. 636 «ὠθεῖν ἐς *τὸν ὀφθαλμὸν* τὸ πῦρ». Ἐν στίχ. 633 κεῖται «μοχλὸν λαβόντας ἐκκάειν τὸ

φῶς Κύκλωπος», ᾧ παραβλητέον τὸ ἐν στίχ. 663 «κατηνθρακώμεθ' *ὀφθαλμοῦ σέλας*». Εἶπε δ' ὁ Εὐριπίδης ἐν τῷ προκειμένῳ δράματι στίχ. 657 καὶ «ἐκκάετε τὴν *ὀφρὺν* θηρὸς τοῦ ξενοδαίτα». Ὁ Σπαννέμιος ἐν ταῖς εἰς Καλλίμαχον Παρατηρήσεσι (*Καλλιμ.* Τόμ. Β', σελ. 206 Ἐρν.) ἀποφαίνεται ὅτι ἀναγκαίως ἔχει τὸ ἐν στίχ. 511 πληθυντικὸν «καλὸν *ὄμμασι* δεδορκώς» νὰ τραπῇ εἰς τὸ ἑνικὸν *ὄμματι*. Ἀλλὰ πρῶτον μὲν ἡ γνησία γραφὴ εἶνε *ὄμμασιΝ*, ἔπειτα δὲ καὶ ἐν στίχ. 459 ἐλέχθη ὑπὸ τοῦ Εὐριπίδου «ἐς μέσην βαλὼν Κύκλωπος ὄψιν *ὄμματ'* ἐκτήξω πυρί» καὶ ἐν στίχ. 470 «τοῦ τυφλοῦντος *ὄμματα* δαλοῦ». Παρατηροῦμεν προσέτι ὅτι ἐν μὲν στίχ. 673 ἀπαντᾷ «Οὖτίς με τυφλοῖ *βλέφαρον*», ἐν δὲ στίχ. 485 κεῖται «Κύκλωπος ἔσω *βλεφάρων* ὤσας λαμπρὰν ὄψιν διακναίσει». Περὶ τοῦ «τὸν μονῶπα *παῖδα γῆς*» ἐγένετο λόγος ὑπὸ τοῦ Ὀλλάνδου ἐν *Leipz. Stud.* Τόμ. Ζ', σελ. 169.

Ἡρωδιαν. π. Μον. Λέξ. σελ. 16, 12 «Οὐκ ἀντιθήσει τις ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου Α'· δερκόμενος πρὸς κῦμα, *μούνη δέ οἱ ἐφλέγετο γλήν*». Ἴδε Leipz. Stud. Τόμ. Ζ', σελ. 228.

Καλλίμ. Ὕμν. εἰς Ἄρτεμ. 51 «αἱ νύμφαι δ' ἔδδεισαν (ἔδεισαν) ὅπως ἴδον αἰνὰ πέλωρα πρηόσιν Ὀσσαίοισιν ἐοικότα, πᾶσι δ' ὑπ' ὀφρὺν *φάεα μουνόγληνα* σάκει ἶσα τετραβοείῳ δεινὸν ὑπογλαύσσοντα». Σχολ. «Φάεα μουνόγληνα: Καὶ Ἡσίοδος· κυκλοτερὴς ὀφθαλμὸς ἔεις». Πρβ. καὶ Vergil. Aen. III, 635 «telo lumen terebramus acuto ingens, quod torva solum sub fronte latebat, Argolici clipei aut Phoebeae lampadis instar» καὶ Ovid. Met. XIII, 851 «unum est in media lumen mihi fronte, sed instar ingentis clipei».

Πλούτ. Ἠθικ. σελ. 698 ς' «χωρὶς εἰ μὴ τὸν Κύκλωπα φήσει τις, ὥσπερ *ὀφθαλμὸν ἔχει ἕνα*, καὶ πόρον τροφῆς καὶ φωνῆς τὸν αὐτόν». Ἐν τῷ Ποπλικόλᾳ εἶνε τάδε ὑπὸ τοῦ Πλουτάρχου γεγραμμένα κεφ. ΙΣΤ', 5 «Ὁ δ' Ὁράτιος τὸν Κόκλιον ἐπωνύμιον ἔσχεν ἐν πολέμῳ τῶν ὀμμάτων θάτερον ἐκκοπείς· ὡς δ' ἔνιοι λέγουσι, διὰ σιμότητα τῆς ῥινὸς ἐνδεδυκυίας, ὥστε μηδὲν εἶναι τὸ διορίζον τὰ ὄμματα καὶ τὰς ὀφρῦς συγκεχύσθαι, Κύκλωπα βουλόμενοι καλεῖν αὐτὸν οἱ πολλοί, τῆς γλώττης ὀλισθαινούσης (ὀλισθανούσης), ἐκράτησαν ὑπὸ πλήθους Κόκλιον καλεῖσθαι». Κατὰ μὲν τὴν πρώτην γνώμην ἐκκοπεὶς ὁ περὶ οὗ ὁ λόγος Ὁράτιος τὸ ἕτερον ὄμμα ἐγένετο ἑτερόφθαλμος· κατὰ δὲ τὴν

δευτέραν εἶχε μὲν ὁ ἀνὴρ ἀμφοτέρους τοὺς ὀφθαλμούς, ἀλλὰ συνημμένοι σχεδὸν οἱ δύο ὀφθαλμοὶ παρεῖχον δόξαν ἑνὸς καὶ συγκεχυμέναι αἱ δύο ὀφρύες ἐφαίνοντο μία· ὅθεν οἱονεὶ μονόφθαλμον ὄντα ἤθελον μὲν οἱ πολλοὶ νὰ ὀνομάζωσι Κύκλωπα, ἀλλὰ πταίοντες ἔλεγον Κόκλιον. Γελοιότατον εἶνε τοῦτο καὶ οὐδεμιᾶς πίστεως ἄξιον, εἰ καὶ ὁ Βαλκενάριος γράφει ἐν ταῖς εἰς Ἀμμώνιον Παρατηρήσεσι σελ. 86 «Pulcerrima est hanc in rem *Ios. Scaligeri* observatio, Latinorum *Cocles* a Κύκλωψ derivantis, Coniect. in *Varr.* de L. L. p. 143». Περὶ τῆς ἐτυμολογίας τοῦ ὀνόματος cocles ἐποιήσατο λόγον ὁ Κούρτιος ἐν *Grundz. d. Griech. Etym.* σελ. 168 ἐκδ. ε΄ καὶ ὁ Βανισέκιος ἐν *Etymol. Wœrterb.* σελ. 1056. Ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 898 φέρεται «Πόπλιος δὲ Ὁράτιος ὁ καλούμενος *Κόκλης* ἐκ τοῦ κατὰ τὴν ὄψιν ἐλαττώματος ἐκκοπεὶς ἐν μάχῃ τὸν ἕτερον ὀφθαλμὸν ἐκ τῶν νεωτέρων». Πρβ. Σουΐδ. λ. *ἐξεκόπη*. Τὸν τύπον *Κόκλης* βλέπει τις καὶ παρὰ τῷ Πολυβίῳ βιβλ. ς΄, νε΄, 1 καὶ 3. Πρβ. καὶ Κοραῆν εἰς *Πλουτ. Πολιτ.* σελ. 157.

Φιλόστρατ. σελ. 840 «Πολύφημος δὲ ὁ τοῦ Ποσειδῶνος ἀγριώτατος αὐτῶν (ὢν) οἰκεῖ ἐνταῦθα, *μίαν μὲν ὑπερτείνων ὀφρὺν τοῦ ὀφθαλμοῦ ἑνὸς ὄντος*, πλατείᾳ δὲ τῇ ῥινὶ ἐπιβαίνων τοῦ χείλους καὶ σιτούμενος τοὺς ἀνθρώπους, ὥσπερ τῶν λεόντων οἱ ὠμοί».

Περιττὸν δ᾽ ἡμῖν φαίνεται νὰ καταλεχθῶσι καὶ ἄλλων παλαιῶν μαρτύρια δοξαζόντων ὅτι μονόφθαλμοι οἱ Ὁμηρικοὶ Κύκλωπες ἦσαν ἤτοι ἕνα ὀφθαλμὸν ἐκ φύσεως ἢ ἐκ γενετῆς εἶχον.

Ὁ Κόβητος ἀποφαίνεται ἀνενδοιάστως ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 106 ὅτι *ἑτερόφθαλμος* ἦτο ὁ Πολύφημος, οὐχὶ *μονόφθαλμος*. Τάδε λέγει ὁ πρύτανις τῶν κριτικῶν «Non potuit summi Critici animadversio quamquam verissima constantem omnium opinionem per multa saecula inveteratam exstirpare. Primus omnium Hesiodus Homeri verba perverse acceperat *Theogon.* 144». Γράφει δὲ καὶ ὁ Ῥουθερφόρδιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 210 «In Homer the Cyclops is ἑτερόφθαλμος, not μονόφθαλμος, as Aristarchus plainly saw». Ἀλλ᾽ ὁ Ὅλλανδος ἐν *Leipz. Stud.* Τόμ. Ζ΄, σελ. 169 ποιεῖται τὴν παρατήρησιν τήνδε· «Ubi propter versum vel ad magnitudinem significandam legitur

ὄμματα — vel βλέφαρα — *unus oculus intellegendus item atque apud Homerum*». Πρβ. καὶ σελ. 143.

Ὁ Σέρβιος ἱστορεῖ ὅτι κατά τινας μὲν ἕνα εἶχεν ὀφθαλμὸν ὁ Πολύφημος, κατ' ἄλλους δὲ δύο, *κατ' ἄλλους δὲ τρεῖς*. Ἄξιον μνείας νομίζομεν τὸν λόγον τοῦ Σερβίου καὶ δι' ἣν αὐτὸς περὶ τοῦ προκειμένου ἀποφαίνεται γνώμην· ἔχει δ' ὧδε (*Comment. in Verg. Aen.* III, 636)· «Multi Polyphemum dicunt unum habuisse oculum, alii duos, alii tres: sed totum fabulosum est. Nam hic vir prudentissimus fuit, et ob hoc oculum in capite habuisse dicitur, id est iuxta cerebrum, quia prudentia plus videbat. Verum Ulixes eum prudentia superavit, et ob hoc eum caecasse fingitur». Ἀηδέστατα διατίθεμαι ταῦτ' ἀναγινώσκων, ἵνα δὲ κατ' Ἀριστοφάνη εἴπω,

ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.

Γεώργιος ὁ Κεδρηνὸς γράφει Τόμ. Α', σελ. 232, 17 «Ἐκεῖθεν ἐμπίπτει ἐν Σικελίᾳ Κύκλωπι, *οὐχὶ ἐπὶ ὀφθαλμῷ κατὰ τὰς μυθολογίας Ὁμήρου κεχρημένῳ*, ἀλλ' ἄνθρωπος μὲν ἦν τὴν φύσιν, ὡς πάντες ἄνθρωποι καὶ οἱ λοιποὶ Κύκλωπες, οἳ καὶ τὸ εἶδος ἦσαν μεγάλοι καὶ ἀπηγριωμένοι καὶ ἀπευκτοὶ (καὶ) τὴν προαίρεσιν παγχάλεποι καὶ μισανθρωπότατοι καὶ φονικώτατοι».

Συγγραφεῖς τοῦ μεταγενεστέρου ἑλληνισμοῦ ποιοῦνται ἐνίοτε χρῆσιν τοῦ ἐπιθέτου *μονόφθαλμος* ἀντὶ τοῦ *ἑτερόφθαλμος*.

Πολύβ. Ε', ξζ', 6 «τὴν δὲ πρώτην Ἀντιγόνου τοῦ *μονοφθάλμου* κατάληψιν κατὰ τὴν Σελεύκου δυναστείαν τῶν τόπων ἐκείνων κτέ.» καὶ Ψευδολουκιαν. Μακροβ. 11 «Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ *μονόφθαλμος* βασιλεύων Μακεδόνων κτέ.» καὶ μετ' ὀλίγα «Ἀντίγονος δὲ υἱὸς μὲν ἦν Δημητρίου, υἱωνὸς δὲ Ἀντιγόνου τοῦ *μονοφθάλμου*». Ἀλλ' ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 11 β' κεῖται «Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων *ἑτερόφθαλμον* ὄντα τὴν πήρωσιν προφέρων εἰς οὐ μετρίαν ὀργὴν κατέστησε». Πρβ. Βυττεμβάχιον εἰς *Πλουτ. Ἠθικ.* Τόμ. Ϛ', σελ. 130.

Ἀπολλόδ. Β', η', 3 «περιτυγχάνουσιν Ὀξύλῳ τῷ Ἀνδραίμονος ἐφ' ἵππου καθημένου *μονοφθάλμῳ*· τὸν γὰρ ἕτερον τῶν ὀφθαλμῶν ἐκ-

κέκοπτο τόξῳ». Περὶ τῆς ἐκφορᾶς *ἐκκέκοπτο* ἐγένετο λόγος ὑπὸ τοῦ Πιέρσωνος ἐν τῇ ἐκδόσει τοῦ Μοίριδος σελ. 154. Ἀλλ' ὁ Ἑρχῆρος ἐξέδωκε παρὰ τῷ Ἀπολλοδώρῳ «*ἐξεκέκοπτο* τόξῳ». Παρατηρητέον δ' ὅτι κατὰ τὸν Παυσανίαν ἡμίονον πεπηρωμένον τὸν ἕτερον ὀφθαλμὸν ἤλαυνεν ὁ Ὄξυλος. Ὧδε ἔχει ὁ λόγος τοῦ Παυσανίου βιβλ. Ε', γ', 5 «Γίγνεται δὲ τοῖς βασιλεῦσιν αὐτῶν λόγιον τόδε, ἡγεμόνα τῆς καθόδου ποιεῖσθαι τὸν τριόφθαλμον· ἀποροῦσι δέ σφισιν ὅ τι ὁ χρησμὸς ἐθέλοι συνέτυχεν ἐλαύνων ἀνὴρ ἡμίονον, *ὁ δὲ ἕτερος διέφθαρτο τῷ ἡμιόνῳ τῶν ὀφθαλμῶν*». Πρβ. Ἑύνιον εἰς *Ἀπολλόδ*. Τόμ. Α', σελ. 237.

Ἀρτεμίδωρ. σελ. 263, 26 Ἑρχ. «Ἔδοξέ τις τὸν ἕτερον τῶν ὤμων ἰδεῖν βουλόμενος μὴ δύνασθαι. *Μονόφθαλμος* ἐγένετο καὶ τοῦτον τὸν τρόπον κατ' ἐκεῖνον τὸν ὦμον ὀφθαλμὸν οὐκ ἔχων οὐδὲ τὸν ὦμον ἰδεῖν ἠδύνατο».

Μάρκ. Εὐαγγ. Θ', 47 «καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σέ ἐστι *μονόφθαλμον* εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς γέενναν».

Εὐλόγ. παρὰ Φωτ. Βιβλ. σελ. 542, 14 «οἷον μονόχειράς τε καὶ μονόποδας καὶ *μονοφθάλμους* εἰς τὴν τῶν οὐρανῶν ἐπείγεσθαι εἰσελθεῖν βασιλείαν».

Ἰω. Ἀντιοχ. 178 (*Ἀποσπ. Ἱστορ.* Μυλλ. Τόμ. Δ', σελ. 605) «Εὐδαίμονά τινα *μονόφθαλμον*, ἱερέα Ἀσκληπιοῦ, διὰ τὴν τυφλότητα αἰσχυνόμενον ὁραθῆναι αὐτῷ ἀναζητήσας τὸν ἠτυχηκότα ὀφθαλμὸν αὐτοῦ ἐνώπιον πάντων κατεφίλησε».

Κεδρην. Τόμ. Β', σελ. 458, 15 «ἑκάστην ἑκατοντάδα πεπηρωμένων ὑφ' ἑνὸς *μονοφθάλμου* ὁδηγεῖσθαι κελεύσας». Τὰ αὐτὰ φέρονται καὶ παρὰ Μιχαὴλ Γλυκᾷ σελ. 578, 4, ἀλλ' εἶνε πλημμελῶς παρ' αὐτῷ γεγραμμένον *πεπηρωμένΗν* ἀντὶ τοῦ *πεπηρωμένΩν*.

Σχολ. Ἀριστοφ. Ὄρν. στίχ. 153 «οὗτος συκοφάντης πονηρὸς καὶ *μονόφθαλμος*» καὶ «ὅτι *ἑτερόφθαλμός* τις ἦν· ὅθεν οὕτω τοὺς τυφλοὺς φασιν» καὶ στίχ. 1292 «ὅτι δὲ καὶ *μονόφθαλμος* οὗτος προείρηται».

Φέρεται δὲ καὶ ἐν τῷ Ἱστορικῷ Συντίπα τοῦ Φιλοσόφου «εἶτα προσελθὼν ὁ *μονόφθαλμος* μῖμός φησι τῷ καθηγητῇ» (σελ. 107, 19 Τευβν. Πρβ. καὶ σελ. 169,8) καὶ ἐν τῷ Βίῳ τοῦ Ἐπιφανίου «ἐξ ὧν

ὁ εἷς μὲν *μονόφθαλμος* ὢν καὶ τὴν σπάθην γυμνώσας κροῦσαι θέλων Ἐπιφάνιον, ἡ μὲν χεὶρ ἐκρατήθη, παραχρῆμα δὲ ἠνεῴχθη ὁ κεκλεισμένος αὐτοῦ ὀφθαλμός» καὶ «συντυχὼν Εὐδαίμονι τῷ φιλοσόφῳ ἔχοντι παῖδα *μονόφθαλμον*» (*Ἐπιφ*. Δινδορφ. Τόμ. Ε΄, σελ. VII καὶ σελ. XII).

Ἐπωνομάζετο δὲ καὶ ὁ Ἀκάκιος *μονόφθαλμος*, ὡς ἱστορεῖ ὁ Ἱερώνυμος *de Script. Eccl.* cap. 98 «Acacius, quem, quia luscus erat, μονόφθαλμον nuncupabant, Caesariensis ecclesiae in Palaestina episcopus». Πρβ. καὶ Οἰκονόμον ἐν τῷ περὶ τῶν Ο΄ Ἑρμηνευτῶν συγγράμματι Τόμ. Δ΄, σελ. 556.

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Κελλάς: *μονόφθαλμος*» καὶ «Κέμων: *ἑτερόφθαλμος*». Λέγει δ' ὁ Ἡσύχιος καὶ «Ἑτερόφθαλμος: μονόφθαλμος» (Τόμ. Β΄, σελ. 211, 10 Σμιδ.). Τὸ *κέμων* ὑπελήφθη κακὴ ἀνάγνωσις τοῦ *κέλλων* ὑπὸ τοῦ Σμιδιτίου ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Α΄, σελ. 430, 63.

Σημειωτέον δ' ὅτι καὶ τὸ *μονωπά*, ὅπερ ἰσοδυναμεῖ τῷ *μονόφθαλμα*, ἐτέθη ὑπὸ τοῦ Καλλιμάχου ἐπὶ τῆς ἐννοίας τοῦ *ἑτερόφθαλμα*. Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Ὄρν. 873 μνημονεύονται δύο ἐκ τοῦ Καλλιμάχου στίχοι ἔχοντες ὧδε:

τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο,
τῇ καὶ λίπουρα καὶ μ ό ν ω π α θύεται.

Ἀλλ' ἡ προπαροξύτονος ἐκφορὰ *μόνωπα*, ἣν βλέπομεν καὶ ἐν τῇ ὑπὸ τοῦ Βλαϋδεσίου ἐκδόσει τῶν Ὀρνίθων σελ. 326, εἶνε ἀνελλήνιστος. Ὁ Καλλίμαχος εἶπε *μονωπά*, πληθυντικὸν τοῦ *μονωπόν*, οὗ τὸ ἀρσενικὸν *μονωπός*. Ἴδε Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β΄, σελ. 233. Οὐκ ἀγνοητέον δ' ὅμως ὅτι κατὰ τὸν Κόβητον ἐν ταῖς εἰς Ὑπερείδην Σημειώσεσι σελ. 58 ἐγράφη ὑπὸ τοῦ Καλλιμάχου *μόνωτα*.

Ἐκ τῆς τῶν μεταγενεστέρων χρήσεως λαβὼν ἀφορμὴν ὁ Φρύνιχος ἀποφαίνεται ἐν τῇ Ἐκλογῇ σελ. 136 «*Μονόφθαλμον* οὐ ῥητέον, *ἑτερόφθαλμον* δέ· Κρατῖνος γὰρ *μονόμματον* εἶπε τὸν Κύκλωπα». Γράφει δὲ καὶ ὁ Φώτιος Λεξ. σελ. 26, 6 «*Ἑτερόφθαλμος*: οὕτως λέγουσιν, οὐ *μονόφθαλμος*» καὶ ὁ Μοῖρις σελ. 153 «*Ἑτερόφθαλμος* Ἀττικῶς, *μονόφθαλμος* Ἑλληνικῶς».

Καὶ τοῦ μὲν *μονόφθαλμος* ἐγίνετο ἐνίοτ' ἐν τῷ παρηκμακότι ἑλ-

λησισμῷ χρῆσις ἀντὶ τοῦ *ἑτερόφθαλμος*, ὑπ' οὐδενὸς δ' οὐδέποτ' ἐλέχθη *ἑτερόφθαλμος* ἀντὶ τοῦ *μονόφθαλμος*. Νομίζομεν δ' ὅτι ἥκιστ' εὔλογον εἶνε, ἐπειδὴ τῶν πεπηρωμένων τὸν ἕτερον ὀφθαλμὸν ἐκλήθησαν ἔνιοι Κύκλωπες καὶ ἀνδρὸς ἑτεροφθάλμου συγγενεῖς οἱ Ἀριμασποὶ ὑπό τινος ἐλέχθησαν, νὰ συμπεράνωμεν ὅτι ἐλαμβάνετο τὸ ἐκ τοῦ *ἕτερος* συγκείμενον ἐπίθετον ἐπὶ τοῦ φύσει ἕνα ἔχοντος ὀφθαλμόν.

Ἐν τῷ περὶ Παίδων Ἀγωγῆς τοῦ Πλουτάρχου ἢ Ψευδοπλουτάρχου κεφ. ΙΔ' φέρεται «Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα τὴν πήρωσιν προφέρων εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. Τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει ἐκπέμψας παραγενέσθαι πρὸς αὐτὸν ἠξίου καὶ λόγον δοῦναι καὶ λαβεῖν. Ταῦτα δ' ἀπαγγέλλοντος ἐκείνου πρὸς αὐτὸν καὶ πολλάκις προσιόντος, εὖ οἶδα, ἔφησεν, ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθεῖναι, ὀνειδίζων τῷ μὲν ὅτι πηρός, τῷ δ' ὅτι μάγειρος ἦν» (Πρβ. καὶ Κοραῆν ἐν *Ἀτάκτ.* Τόμ. Γ', σελ. 201). Λέγει δὲ καὶ ὁ Αἰλιανὸς Ποικ. Ἱστορ. ΙΒ', 43 «Ἀντίγονος ὁ Φιλίππου ὁ καὶ ἑτερόφθαλμος καὶ ἐκ τούτου Κύκλωψ προσαγορευθείς» καὶ Διογένης ὁ Λαέρτιος βιβλ. Θ', 112 «τοῦτον ἐγὼ καὶ ἑτερόφθαλμον ἤκουσα, ἐπεὶ καὶ αὐτὸς αὑτὸν Κύκλωπα ἐκάλει».

Παρὰ δὲ τῷ Φιλοστράτῳ κεῖται σελ. 584 «οἱ αὐτοὶ κατηγοροῦσι καὶ σκώμματος (Ἀριστείδου τοῦ σοφιστοῦ), ἐπειδὴ τοὺς Ἀριμασποὺς τοὺς μονομμάτους ἔφη ξυγγενεῖς εἶναι τοῦ Φιλίππου».

Ὁ Βαλκενάριος γράφει ἐν ταῖς εἰς Ἡρόδοτον Σημειώσεσι σελ. 441 Οὐεσσελ. «In reges Macedoniae, Philippum Amyntae et Antigonum, qui fuerunt ἑτερόφθαλμοι, frigida leguntur hic illic atque insulsa Graeculorum dicteria; hoc in Philippum Aristidis apud Philostratum de Vit. Soph. pag. 584., quo τοὺς Ἀριμασποὺς (τοὺς μονομμάτους) ἔφη ξυγγενεῖς εἶναι τοῦ Φιλίππου». Παρατιθέμεθα καὶ ἃ ὁ Κόβητος λέγει ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 227 «Sic. pag. 584. quod Aristides Sophista τοὺς Ἀριμασποὺς τοὺς μονομμάτους ἔφη ξυγγενεῖς εἶναι τοῦ Φιλίππου, sumtum est ex Herodoto III. 116. IV. 15. Frigidus autem iocus est et inficetus et τοὺς μονοφθάλμους καὶ ἑτεροφθάλμους confundentis». Πρβ. καὶ Πόλακον *Ad Odyss. eiusque Schol. Cur. Sec.* σελ. 32 σημ. 2 «ex quo ioco illud potius quam clarissime apparet Ari-

stidis tempore omne discrimen inter μονόφθαλμος (sive μονόμματος) et ἑτερόφθαλμος ex hominum tunc viventium mentibus evanuisse».

Ἀλλ᾽ ἡμεῖς ἀδυνατοῦμεν νὰ πείσωμεν ἡμᾶς αὐτοὺς ὅτι συνεχέοντο ὑπὸ τοῦ Χίου Θεοκρίτου καὶ τοῦ σοφιστοῦ Ἀριστείδου οἱ ἑτερόφθαλμοι καὶ οἱ μονόφθαλμοι, οὐδαμῶς δ᾽ ὀκνοῦμεν νὰ εἴπωμεν ὅτι δὲν φαίνεται ἡμῖν πάντα τρόπον ἀναγκαία ἐν τοῖς σκώμμασιν ἡ τελεία ὁμοιότης. Παρατηροῦμεν δὲ προσέτι ὅτι ὑπὸ τοῦ Δημητρίου ἐν τῷ περὶ Ἑρμηνείας § 293 εἶνε γεγραμμένον «Φίλιππος μὲν διὰ τὸ ἑτερόφθαλμος εἶναι ὠργίζετο, εἴ τις ὀνομάσειεν ἐπ᾽ αὐτοῦ Κύκλωπα ἢ ὀφθαλμὸν ὅλως». Τὸ ὄνομα τοῦ Κύκλωπος ὑπεμίμνησκε τὸν Φίλιππον ὅτι ἕνα καὶ αὐτὸς εἶχεν ὀφθαλμόν, εἰ καὶ ὁ μὲν Κύκλωψ ἐκ φύσεως εἶχεν ἕνα ὀφθαλμόν, οὗτος δὲ δι᾽ ἀπώλειαν τοῦ ἑτέρου. Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου λέγεται σελ. 633 γ΄ «καὶ γὰρ Ἀντίγονος αὐτὸς μὲν ἑαυτὸν εἰς τὸν ὀφθαλμὸν ἔσκωπτε· καί ποτε λαβὼν ἀξίωμα μεγάλοις γράμμασι γεγραμμένον, ταυτὶ μέν, ἔφη, καὶ *τυφλῷ* δῆλα».

Οἱ λεξικογράφοι Ἄνθιμος Γαζῆς καὶ Σκαρλᾶτος Βυζάντιος διδάσκουσιν ὅτι τὸ *ἑτερόφθαλμος* σημαίνει καὶ τὸν ἔχοντα ὀφθαλμοὺς ἀνομοίους τὴν χροιάν· ἀλλ᾽ οὐδέτερος τούτων ἐσημειώσατο ὅτι ἐν μόνῳ τῷ μεταγενεστέρῳ ἑλληνισμῷ λαμβάνεται ἐνίοτε τὸ προκείμενον ὄνομα ἐπὶ τῆς ἐννοίας ταύτης.

Ὁ Ἄψυρτος γράφει Ἱππιατρ. κεφ. ΙΓ΄, σελ. 53 «Οἱ *ἑτερόφθαλμοι* τῶν ἵππων οὐ τὸ αὐτὸ βλέπουσι τοῖς ὀφθαλμοῖς· ὅνπερ γὰρ τρόπον ὁ ἑτεροσκελὴς καὶ ὁ ἑτερόπους σκάζει καὶ λείπεται τῷ περιπάτῳ, οὕτω καὶ οὗτοι τῷ ὁρατικῷ. Εἰσὶ δὲ καὶ πονηροὶ καὶ ἐπτοημένοι διὰ τὴν *ἑτεροφθαλμίαν*».

Φέρεται δὲ καὶ ἐν τοῖς Γεωπονικοῖς βιβλ. ΙϚ΄, β΄, 1 «Τινὲς δὲ καὶ τοὺς *ἑτεροφθάλμους* ἐν τοῖς καλλίστοις τάττουσιν, οἷόν φασι γεγενῆσθαι τὸν τοῦ Μακεδόνος Ἀλεξάνδρου Βουκέφαλον». Πρβ. Νικλάσιον εἰς *Γεωπον.* σελ. 1109 καὶ Δορβίλλιον εἰς *Χαρίτ.* σελ. 580 Λιψ. καὶ Σνειδῆρον εἰς *Ἀριστοτ. περὶ τὰ Ζῷ. Ἱστορ.* Τομ. Γ΄, σελ. 32.

Καὶ ὁ Τζέτζης παρέχει ἡμῖν παράδειγμα τῆς περὶ ἧς ὁ λόγος χρήσεως τοῦ *ἑτερόφθαλμος* λέγων Ἐπιστολ. σελ. 69 Πρεσσ. «οἵας ποτὲ τὰς Ἀλεξάνδρου εἰκόνας ὁ Στασικράτης ἐκεῖνος ὁ Βιθυνὸς οὐχ *ἑτε-*

ρόφθαλμον οὐδ᾽ ἑτεροτράχηλον πλάττων ἐκεῖνον, οἷός περ ἦν ὁ ἀνήρ». Πρβ. Ἱστορ. ΙΑ΄, 368 «γλαυκὸν τὸν ἕνα ὀφθαλμὸν ἔχειν θρυλεῖται πᾶσι, μέλανα δὲ τὸν ἕτερον». Ἐγράψαμεν «*οἷός περ* ἦν ὁ ἀνήρ» ἀντὶ τοῦ *οἷσπερ*, ὃ μετετύπωσεν εἰς τὸ *ὥσπερ* ὁ Στερνοβάχιος (Sternbach) ἐν ***Melet. Gr.*** Μέρ. Α΄, σελ. 77. Περὶ τοῦ *ἑτεροτράχηλος* ἴδε Θησ. Στεφ. Τόμ. Γ΄, σελ. 2144. Πρβ. καὶ Σκαρλᾶτον Βυζάντιον ἐν τῇ Κωνσταντινουπόλει Τόμ. Α΄, σελ. 409.

Εὕρομεν δὲ καὶ παρὰ Γεωργίῳ τῷ Ἀκροπολίτῃ σελ. 34, 15 «καθειμένον ἔχων τὸ γένειον καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ᾽ ὀλίγον *ἑτερόφθαλμος*».

Ἐπὶ τῆς αὐτῆς ἐννοίας εἶνε παρειλημμένον τὸ *ἑτερόμματος* ὑπὸ Ἰουλίου Ἀφρικανοῦ Κεστ. σελ. 292 «οἱ δὲ *ἑτερόμματοι* καταφρονοῦντες καὶ πολέμου καὶ φάσματος καὶ λεόντων» (Πρβ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν περὶ τὰ Ζῷα Ἱστοριῶν τοῦ Ἀριστοτέλους Τόμ. Δ΄, σελ. 291).

Ἐν τῷ ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. Δ΄, 141 «ἡ Θάμυρις τὸν μὲν ἔχων γλαυκὸν ὀφθαλμόν, τὸν δὲ μέλανα». Τὸν ἔχοντα γλαυκὸν τὸν ἕτερον ὀφθαλμὸν ὀνομάζει ὁ Ἀριστοτέλης *ἑτερόγλαυκον* Τόμ. Γ΄, σελ. 416, 10 «Μάλιστα δὲ τῶν ἄλλων ζῴων ἵππος πολύχρων ἐστί· καὶ γὰρ *ἑτερόγλαυκοί* τινες αὐτῶν γίνονται. Τοῦτο δὲ τῶν μὲν ἄλλων οὐθὲν πάσχει ζῴων ἐπιδήλως, ἄνθρωποι δὲ γίνονταί τινες *ἑτερόγλαυκοι*». Πρβ. καὶ σελ. 417, 43.

Ὁ ἔχων διαφόρους τὴν χροιὰν ὀφθαλμοὺς καλεῖται καὶ *δίκορος*. Μυθογράφ. σελ. 192, 14 Οὐεστ. «ἦν καὶ *δίκορον* καὶ ὀξυωπεστάτην φασὶ γενέσθαι». Κωνστ. Μανασσ. στίχ. 3009 «εἰς Ἀναστάσιον φοιτᾷ τὸ τῶν Ῥωμαίων κράτος, ὃς *δίκορος* ἐλέγετο· τὴν γὰρ ἑτέραν κόρην ἔτυχεν ἔχων μέλαιναν, γλαυκόχρουν δὲ τὴν ἄλλην». Πρβ. καὶ Μιχ. Γλυκᾶν σελ. 491, 11.

Ὡς δὲ λέγεται *ἑτερόφθαλμος* ἐπὶ τοῦ ἔχοντος ἀνομοίους τὴν χροιὰν ὀφθαλμούς, οὕτω καὶ *ἑτερόπους* καὶ *ἑτεροσκελής* ἐπὶ τοῦ ἔχοντος πόδας ἀνίσους τὸ μέγεθος ἢ σκέλη ἄνισα. Ἴδε Ἱππιατρ. σελ. 53. Πρβ. καὶ σελ. 258 «*ἑτεροποδοῦντες* ἵπποι». Ὁ Πολυδεύκης γράφει βιβλ. Δ΄, 161 «τρίγωνον ἰσοσκελές, *ἑτεροσκελές*, σκαληνόν — ἰσόμηκες, τετράγωνον, πρόμηκες, *ἑτερόμηκες*». Τοῦ *ἑτερόμηκες* γίνεται χρῆσις ὑπὸ τοῦ Ἀριστοτέλους καὶ τοῦ Εὐκλείδου καὶ ἄλλων. Πρβ. καὶ Ι. Σμι-

δίτιον ἐν τῷ περὶ Συνωνύμων συγγράμματι Τόμ. Δ΄, σελ. 561.

Ἐμφερὲς τούτοις εἶνε τὸ *ἑτερόγναθος* ἅπαντῶν παρὰ τῷ Ξενοφῶντι περὶ Ἱππικ. Α΄, 9 «*σκοπεῖν* δὲ χρὴ καὶ εἰ ἀμφότεραι μαλακαὶ αἱ γνάθοι ἢ σκληραὶ ἢ ἡ ἑτέρα· ἑτερόγναθοι γὰρ ὡς τὰ πολλὰ οἱ μὴ ὁμοίας ἔχοντες τὰς γνάθους γίγνονται» καὶ Γ΄, 5 καὶ Ϛ΄, 9. Πρβ. καὶ Ψελλ. Βοισσον. σελ. 176. Τοῦ ἐπιθέτου τούτου ποιεῖται μνείαν καὶ ὁ Πολυδεύκης λέγων «ἄδικος τὴν σιαγόνα, *ἑτερόγναθος*» (βιβλ. Α΄, 197). Ἐν ἄλλῳ τόπῳ γράφει ὁ Πολυδεύκης «κεκολασμένος τὴν γνάθον, δίκαιος τὴν σιαγόνα, ἴσος ἑκατέραν τὴν γνάθον» (βιβλ. Α΄, 195). Ὁ Ἡσύχιος ἐξηγεῖται τὸ *ἑτερόγναθος* διὰ τοῦ *σκληρόστομος*, *ἀπειθής*, κατὰ δὲ τὸν Φώτιον *ἑτερόγναθος* εἶνε *ὁ ἀπειθὴς ἢ ὁ ἄπληστος καὶ ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων*.

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Γιλός: ἑτερόφθαλμος». Ὁ Βόσσιος ἔγραψε διὰ διττοῦ λάβδα *γιλλός*· εἶνε δὲ τοῦτο οὐδὲν ἄλλο ἢ τὸ *ἰλλός*, ὅπερ μνημονεύεται ὑπὸ τοῦ Ἡσυχίου λέγοντος «*Ἰλλός*: στρεβλός, στραβός, διεστραμμένος». Πρβ. καὶ «*Ἰλλίς*: στρεβλή, διεστραμμένη». Ὁ ἐκδότης τοῦ Ἡσυχίου Σμιδίτιος ἀνάρμοστον εὑρίσκων τὴν διὰ τοῦ *ἑτερόφθαλμος* ἐξήγησιν ἀναγινώσκει «Γιλλός (ἢ Ἔπιλλος): *στρεβλόφθαλμος*». Ἡμῖν δὲν φαίνεται ἀπίθανον ὅτι ἐγίνετο ἐνίοτ' ἐν τῷ παρηκμακότι ἑλληνισμῷ χρῆσις τοῦ ὀνόματος *ἑτερόφθαλμος* ἀντὶ τοῦ *ἰλλός* ἢ *στραβός*, οἷς συνωνυμεῖ τὸ *παραβλώψ*. Τὸ ἐν τοῖς Προβλήμασι τοῦ Ψευδαριστοτέλους κεφ. ΛΑ΄, 7 «τοιαύτη μὲν τῷ *ἑτεροφθάλμῳ* γίνεται, ὥστε δύο φαίνεσθαι» δὲν δύναται ἐπ' ἄλλης ἐννοίας νὰ ἐκληφθῇ ἢ τῆς τοῦ *στραβὸς* ἢ *ἰλλός*. Δὲν εἶνε δ' ἀπίθανον νὰ νοηθῇ ὁμοίως ὑπό τινος καὶ τὸ παρὰ Γεωργίῳ τῷ Ἀκροπολίτῃ φερόμενον.

Ἀναγκαῖον δ' ἡμῖν φαίνεται νὰ παρατηρηθῇ ὅτι ἠδύνατο μὲν τὸ *μονόφθαλμος* νὰ δηλοῖ καθόλου τὸν ἔχοντα ἕνα ὀφθαλμόν, ἐλαμβάνετο δ' ὅμως ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ἰδίως ἐπὶ τοῦ *φύσει* ἔχοντος ἕνα ὀφθαλμόν, ὑπάρχοντος αὐτοῖς ἑτέρου ὀνόματος σαφῶς μηνύοντος τὸν *μὴ ἐκ φύσεως ἀλλὰ διὰ νόσον ἢ ἄλλην αἰτίαν* ἔχοντα ἕνα ὀφθαλμόν. Οὐκ ἀγνοητέον δ' ὅτι τίθεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τὸ *ἔχω ἕνα ὀφθαλμὸν* ἄλλοτε μὲν ἐπὶ τοῦ φύσει ἔχοντος ἕνα ὀφθαλμόν, ὡς ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 698 ς΄ «χωρὶς εἰ μὴ τὸν

Κύκλωπα φήσει τις, ὥσπερ *ὀφθαλμὸν ἔχει ἕνα*, καὶ πόρον τροφῆς καὶ φωνῆς τὸν αὐτόν», ἄλλοτε δ᾽ ἐπὶ τοῦ κατὰ τύχην ἔχοντος ἕνα ὀφθαλμόν, διεφθαρμένου ὁπωσδήποτε τοῦ ἑτέρου, ὡς παρὰ τῷ Δημοσθένει σελ. 744, 140 «ἀπειλῆσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ *ἕνα ἔχοντι ὀφθαλμὸν* ὅτι αὐτοῦ ἐκκόψει τοῦτον τὸν ἕνα» καὶ μετ᾽ ὀλίγα «ἐάν τις *ἕνα ἔχοντος ὀφθαλμὸν* ἐκκόψῃ».

Εἴπομεν ὀλίγον ἔμπροσθεν ὅτι τὸ *μονόφθαλμος* ἠδύνατο νὰ σημαίνῃ καθόλου τὸν ἔχοντα ἕνα ὀφθαλμόν. Ὑπομιμνήσκομεν δὲ νῦν ὅτι τὴν ἔννοιαν τοῦ *εἷς-μία-ἕν* ἐνέφαινον οἱ Ἕλληνες ἐν συνθέσει διὰ τοῦ ἐπιθέτου *μόνος*, ἰων. *μοῦνος*

Τοῦ *εἷς-ἑνός* ἐν τῇ ἀρχαίᾳ τῶν Ἑλλήνων φωνῇ ἓν μόνον παράγωγον εὑρέθη, τὸ *ἑνάς*· οὐδὲν δ᾽ ἄλλο ἐξ αὐτοῦ οὔτ᾽ ὄνομα ἐσχηματίσθη οὔτ᾽ ἐπίρρημα. Καὶ σύνθετον δ᾽ ἐκ τοῦ *εἷς* οὐδὲν σχεδὸν παρὰ τοῖς δοκίμοις ἀπαντᾷ.

Ἐκ τῶν ἀριθμητικῶν ἐπιθέτων *δύο*, *τρεῖς*, *τέσσαρες*, *πέντε*, *ἕξ*, κτλ. παρήχθησαν καὶ ὀνόματα καὶ ἐπιρρήματα. Ἐπεξεργόμεθα συνοπτικῶς τὰ ἐκ τῶν τριῶν πρώτων γενόμενα.

ΔΥΟ-ΔΥΩ, *δεύτερος* (*δεύτατος*, *δευτάτιος*), *δευτεραῖος*, *δυάς*, *δίς*, *διχῶς*, *δίχα* (*ἄνδιχα*, *διάνδιχα*), *διχῇ*, *διχθά*, *διχοῦ* (παρ᾽ Ἡροδ. Δ΄, 120 κατὰ τοὺς κώδικας ἀντὶ τοῦ ἄλλοτε φερομένου *διχῇ*· ἀλλ᾽ ὁ Ἑρουερδὴν ἐξέδωκε *δίχα*), *διχόθεν*, *διχάδε* (*διχάδε διοιχθέντες* Πλάτ. Συμπ. σελ. 215 β΄, ἀνθ᾽ οὗ ὁ Στέφανος καὶ ὁ Ἄστιος ἔγραψαν *δίχα*), *δισσός* καὶ *διττός*-*δισσῶς* καὶ *διττῶς*-*δισσάκις* (*δισσάκι*)-*δισσαχῇ*-*διτταχοῦ*-*διτταχῶς*, *διξός*. Ἐπίθετον *δυοστός*, ἀνάλογον ὂν τῷ *πολλοστός*, *μυριοστός*, κτλ., μνημονεύεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου ἐκ τῶν εἰς Εὐριπίδην Σχολίων Ἑκ. 32 «τὸ *δυοστόν*, τὸ τρίτον, τὸ τέταρτον ἐπὶ μορίων, ἢ τὸ *δυοστόν*, τὸ τριτημόριον, τὸ τεταρτημόριον». Εὕρομεν δὲ καὶ παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ Τόμ. Β΄, σελ. 211, 20 «οὐδὲ τὸ *δυοστὸν* γοῦν γεγόνασιν», τουτέστιν: *οὐδὲ τὸ ἥμισυ*. Ἐν τοῖς Ἀνεκδότοις τοῦ Βεκκήρου σελ. 942, 21 κεῖται «Τὸ δὲ *δίς* καὶ *τρίς* πέπονθε· τὸ γὰρ *δυάκις* καὶ *τριάκις* παρὰ Ἀριστοφάνει», ὁ δ᾽ Ἡσύχιος λέγει «*Τριάκις*: ἀντὶ τοῦ *τρίς*. Λάκωνες». Πρβ. καὶ Βιογράφ. Οὐεστερμ. σελ. 395, 17 «*τριάκις* γὰρ τρία θ΄» (Ἴδε Λοβέκκιον ἐν *Στοιχ*. Τόμ. Α΄, σελ. 387 κέξ.). Τὸ

δεύτερος νομίζεται ὑπό τινων παράγωγον τοῦ ῥήματος *δεύομαι*. Συγγενὴς δ' ἀναμφιλέκτως τῷ *δύο - δίς* εἶνε ἡ πρόθεσις *διά*, ὡς παρετήρησε καὶ ὁ Εὐστάθιος σελ. 1385, 56 ("Ιδε καὶ Ἀσώπιον ἐν *Εἰσ. Ἑλλην. Συντάξ.* σελ. 674).

ΤΡΕΙΣ, *τρίτος* (*τρίτατος*), *τριταῖος*, *τριάς* (*τριττύς*, *τριττύα*), *τρίς*, *τριχῶς*, *τρίχα* (*διάτριχα*, περὶ οὗ ἴδε "Οθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α', σελ. 155), *τριχῇ*, *τριχθά*, *τριχοῦ* (Ἡρόδ. Ζ', 36 «διέκπλοον δὲ ὑπόφαυσιν κατέλιπον τῶν πεντηκοντέρων καὶ *τριχοῦ*»· ἀλλὰ μετεβλήθη ὑπό τινων εἰς τὸ *τριηρέων*), *τριχόθεν*, *τρισσός* (*τρισσάτιος*) καὶ *τριττός* - *τρισσάκις* - *τρισσαχῇ* - *τρισσῶς* καὶ *τριττῶς*, *τριξός*. Παραδεδομένον δ' ὑπὸ παλαιῶν γραμματικῶν εἶνε ὅτι αἰολιστὶ ἐλέγετο *τέρτος* ἀντὶ τοῦ *τρίτος* ("Ιδε Μειστῆρον *Die Griech. Dial.* Τόμ. Α', σελ. 43 καὶ 70). Ὁ Πολυδεύκης γράφει ἐν τῷ Ὀνομαστικῷ βιβλ. Δ', 174 «Ἐν δ' Ἱμεραίων Πολιτείᾳ φησὶν (ὁ Ἀριστοτέλης) ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι— τοὺς δὲ τρεῖς *τριᾶντα*» (Πρβ. καὶ βιβλ. Θ', 81). Εἶνε δὲ τὸ *τριᾶς* καὶ *ἑξᾶς* Ἑλληνικοὶ τύποι τῶν Λατινικῶν ὀνομάτων *triens* καὶ *sextans*. Τὸ *quadrans* ἐλέχθη ἑλληνιστὶ *τετρᾶς* ("Ιδε Βεντλήϊον *Dissertat. upon the Epistl. of Phal.* etc. σελ. 469 κέξ. καὶ Βαλ. Ῥώσην *Aristot. Pheudep.* σελ. 460 καὶ Οὔλσχιον *Griech. und Rœm. Metrol.* σελ. 660 ἐκδ. β' καὶ "Ιμμισχον *Leipz. Stud.* Τόμ. Η', σελ. 317. Πρβ. καὶ Ἀρήνσιον *De Dial. Dor.* σελ. 392). Ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ καλεῖται *κουαδράντης* καὶ *κοδράντης*.

ΤΕΣΣΑΡΕΣ - ΤΕΤΤΑΡΕΣ, *τέταρτος* καὶ κατὰ μετάθεσιν *τέτρατος*, *τεταρταῖος*, *τετράς* (*τετρακτύς*), *τετράκις* καὶ *τετράκι*, *τετραχῶς*, *τέτραχα*, *τετραχῇ*, *τετραχθά*, *τετραχόθεν*, *τετραχόθι*, *τετραξός*.

Ἀλλὰ τὰ τῷ ἀριθμητικῷ ἐπιθέτῳ *εἷς* ἀντιστοιχοῦντα ὀνόματα καὶ ἐπιρρήματα ἐν τῇ δοκίμῳ γλώσσῃ δὲν εἶνε ἐξ αὐτοῦ παρηγμένα πλὴν τοῦ *ἑνάς*. Παρατιθέμεθα τὰ εἰς τὸ ἐπίθετον τοῦτο κατ' ἔννοιαν ἀναφερόμενα ὀνόματα καὶ ἐπιρρήματα.

ΕΙΣ, *πρῶτος* καὶ δωριστὶ *πρᾶτος*.

ΕΙΣ, *προτεραῖος*.

ΕΙΣ, *μονάς*. Ἐλέχθη καὶ *ἑνάς* ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ Φιλήβῳ σελ. 15 α' «περὶ τούτων τῶν *ἑνάδων* καὶ τῶν τοιούτων ἡ πολλὴ σπουδὴ μετὰ διαιρέσεως ἀμφισβήτησις γίγνεται». Κεῖται δὲ καὶ ἐν

τοῖς Ἰωάννου τοῦ Φιλοπόνου (Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 42, 12) «Εἰ γάρ, φησίν (ὁ Ἐλεάτης Ζήνων), ἐστὶ πλῆθος, ἐπειδὴ τὸ πλῆθος ἐκ πλειόνων *ἑνάδων* σύγκειται, ἀνάγκη εἶναι *ἑνάδας* πλείους, ἐξ ὧν τὸ πλῆθος συνέστηκεν. Εἰ τοίνυν δείξομεν ὅτι ἀδύνατον εἶναι πλείονας *ἑνάδας*, δῆλον ὅτι ἀδύνατον εἶναι πλῆθος· τὸ γὰρ πλῆθος ἐξ *ἑνάδων*» (Πρβ. καὶ σελ. 43, 5 καὶ σελ. 80, 28) καὶ ἐν τοῖς τοῦ Σιμπλικίου (Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 99, 13) «Ὡς γὰρ ἱστορεῖ, φησίν, Εὔδημος, Ζήνων ὁ Παρμενίδου γνώριμος ἐπειρᾶτο δεικνύναι ὅτι μὴ οἷόν τε τὰ ὄντα πολλὰ εἶναι τῷ μηδὲν εἶναι ἐν τοῖς οὖσιν ἕν, τὰ δὲ πολλὰ πλῆθος εἶναι *ἑνάδων*» (Πρβ. καὶ σελ. 95, 8 καὶ σελ. 102, 3 καὶ σελ. 505 2 καὶ 10). Σημειωτέον δ' ὅτι ἐν τοῖς μετὰ τὰ Φυσικὰ τοῦ Ἀριστοτέλους βιβλ. ΙΒ', η', 5 οἱ μὲν ἄλλοι κώδικες ἔχουσιν «ἄτοπον γὰρ τὸ ἓν μὲν εἶναί τι πρῶτον τῶν *ἑνῶν*» (ἢ *ἕνων*), εἰς δὲ *ἑνάδων*, ὅπερ οὐδαμῶς ἀποδεκτόν. Πρβ. βιβλ. Θ', ϛ', 4 «ὥσπερ εἴ τις εἴποι ἓν καὶ *ἕνα* ἢ λευκὸν καὶ λευκά» καὶ μετ' ὀλίγα «πολλὰ γὰρ ἕκαστος ἀριθμός, ὅτι *ἕνα* καὶ ὅτι μετρητὸς ἑνὶ ἕκαστος» καὶ Φυσικ. Ἀκροάσ. Γ', ζ', 2 «ὁ δ' ἀριθμός ἐστιν *ἕνα* πλείω καὶ ποσὰ ἄττα». Τὴν γραφὴν ταύτην βλέπει τις καὶ παρὰ τῷ Σιμπλικίῳ Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 505, 15 «Ὅτι δὲ ὁ ἀριθμὸς ἐξ *ἑνῶν* σύγκειται ὑπέμνησε διὰ τοῦ· ὁ δὲ ἀριθμός ἐστιν *ἕνα* πλείω καὶ ποσὰ ἄττα». Μετ' ὀλίγα ἀπαντᾷ «εἰ οὖν ὁ ἀριθμὸς μηδὲν ἄλλο ἐστὶν εἰ μὴ πλείονα *ἕνα*», ἐν δὲ σελ. 504, 34 φέρεται κατὰ τἀντίγραφα «αὕτη δέ ἐστι τὸ τὸν ἀριθμὸν ἐκ πλειόνων *ἑνῶν* (*ἕνων*, *ἕνωσιν*) συγκεῖσθαι, τὸ δὲ ἐξ *ἕνων* (*ἑνὸς*) συγκείμενον εἰς *ἕνα* καὶ διαιρεῖσθαι». Πρβ. καὶ Πλωτῖν. σελ. 1259, 15 Κρευζ. «τῆς δεκάδος ταύτης μέρη ποιῶν τὰ *ἕνα*». Τὴν παροξύτονον ἐκφορὰν *ἕνων* εὑρίσκομεν καὶ ἐν τῷ *οὐδ' ὑφ' ἕνων*, οὗ ποιοῦνται μνείαν ὁ Φώτιος ἐν τῷ Λεξικῷ καὶ ὁ Σουίδας γράφοντες «*Οὐδ' ὑφ' ἕνων*: Ἀττικοὶ ἀντὶ τοῦ ὑπ' οὐδένων λέγουσιν ὑπερβιβάζοντες» (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 318 καὶ ἐν *Mnemos.* 1862, σελ. 178).

ΕΙΣ, *ἅπαξ*. Πρβ. Ἰλ. Ο, 511 «βέλτερον ἢ ἀπολέσθαι *ἕνα χρόνον* ἠὲ βιῶναι ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι» καὶ Ὀδυσσ. Μ, 350 «βούλομ' *ἅπαξ* πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσῳ ἐρήμῃ». Τὸ *ἕνα χρόνον* ἐξελήφθη καὶ ἀντὶ τοῦ *ἐν ὀλίγῳ καιρῷ* (Ἴδε Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 371).

Ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ λέγεται *μιὰ φορά* (ἢ *μιὰ βολά*), *δυὸ φορές* (=δίς), *τρεῖς φορές* (=τρίς), κτλ. Θαυμαστὸν ἡμῖν προσπίπτει ὅτι ὁ Βανισέκιος (ἐν *Etymol. Wœrterb.* σελ. 972) κατέλεξεν ἐν τοῖς παραγώγοις τοῦ *εἷς-ἑνός* καὶ τὸ *ἑνιάκις*, οὗ ἡ ὑγιὴς ἐκφορὰ εἶνε *ἐνιάκις* ἐκ τοῦ *ἔνιοι* γενομένου.

ΕΙΣ, *ἅμα*, *ἁμᾷ* (λατιν. *una*). Ἐν τοῖς εἰς Πίνδαρον Σχολίοις Πυθ. Γ΄, 65 (ἢ 36) φέρεται «*Ἁμᾶ*: τὸ *ἁμᾶ*, ὡς Ἡρωδιανός φησιν ἐν τῇ ΙΘ΄, οἱ Δωριεῖς περισπῶσι καὶ τὸ *παντᾶ*, ὥσπερ καὶ τὸ *κρυφᾶ* παρὰ Πινδάρῳ. Τοιοῦτον δέ ἐστι καὶ τὸ *ἁμᾶ* περισπώμενον ἀπὸ τοῦ *ἁμῇ* γινόμενον. Ζητεῖται δὲ ἐν τῷ περισπωμένῳ *ἁμᾶ* εἰ προστεθήσεται τὸ Ι». Πολλοὶ νῦν τῶν φιλολόγων προστιθέντες τὸ Ι γράφουσιν *ἁμᾷ*, *παντᾷ*, *κρυφᾷ*, κτλ., ὡς καὶ *πάντῃ*, *κρυφῇ*, κτλ. Ἐγκρίνομεν δὲ τὴν γραφὴν ταύτην καὶ ἡμεῖς (Ἴδε Κοίνιον εἰς *Γρηγόρ. Κορ.* σελ. 213 Σχαιφ. καὶ Ἀρήνσιον ἐν τῷ *περὶ Διαλ. Δωρ.* σελ. 34 καὶ 372 καὶ Βέργκιον ἐν *Ποιητ. Λυρ.* Τόμ. Α΄, σελ. 56 ἐκδ. δ΄). Τῇ μετὰ τοῦ ὑπογεγραμμένου Ι ἐκφορᾷ *ἁμᾷ* συνηγορεῖ καὶ πλημμελὴς παρὰ Καλλιμάχῳ ἀνάγνωσις Ὕμν. εἰς Λουτρ. Παλλ. 75 *ἅμαι* ἢ *ἄμαι* (Ἴδε Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α΄, σελ. 351). Μακρὸν περὶ τῆς γραφῆς τῶν προκειμένων ἐπιρρημάτων λόγον ἐποιήσατο ὁ Λαρόχης ἐν τοῖς Ὁμηρικοῖς Ζητήμασιν (*Homer. Untersuch.*) σελ. 180 κέξ., θὰ διαλάβωμεν δὲ καὶ ἡμεῖς ἐν οἰκείῳ τόπῳ περὶ τοῦ πράγματος ἀκριβέστατα. Σφάλλεται Γρηγόριος ὁ Κορίνθου γράφων σελ. 255 «Τὸ ὁμοῦ *ἁμᾶ* λέγουσι τρέποντες τὸ ΟΥ εἰς Α καὶ τὸ Ο εἰς Α, ὡς ἐν τῷ *ἦπα* (ἢ πα) ἀντὶ τοῦ *ἦπου* (ἢ που)». Τὸ *ἁμᾷ*, ὡς καὶ τὸ *ἅμα*, παρήχθη ἐκ τοῦ *ἍΜΟΣ* τοῦ ἰσοδυναμοῦντος τῷ *εἷς*, τὸ δ᾽ *ὁμοῦ* ἐγένετο ἐκ τοῦ *ὁμός*, ἐξ οὗ καὶ τὸ *ὁμόθεν* καὶ *ὁμόσε* (καὶ *ὁμῇ-ὁμᾷ*) καὶ *ὁμῶς-ὅμως*. Δὲν ἐξετάζομεν νῦν ἂν εἶνε συγγενῆ τὸ *ὁμός* καὶ *ἍΜΟΣ* οὐδὲ λέγομέν τι περὶ τῆς διαφορᾶς τῶν ἐπιρρημάτων *ὁμοῦ* καὶ *ἅμα*.

ΕΙΣ, *ἁμῶς*, *ἁμοῦ*, *ἁμῇ*, *ἁμοῖ*, *ἁμόθεν*. Ὁ Ὅμηρος εἶπεν ἐν Ὀδυσσείας Α, στίχ. 339 «τῶν *ἕν γέ* σφιν ἄειδε παρήμενος» καὶ στίχ 10 «τῶν *ἁμόθεν γε*, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν» (Πρβ. Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 367). Ἀλλ᾽ οὐδὲν ἄλλο παράδειγμα τοῦ *ἁμόθεν* ἐν τῇ παλαιᾷ γλώσσῃ εὑρέθη ἢ καθ᾽ἑαυτὸ κειμένου ἢ μόνον τὸ *γε* ἀκόλουθον ἔχοντος, παρομαρτεῖ δ᾽ αὐτῷ τὸ *γέ ποθεν*, οἷον *ἁμόθεν γέ πο-*

θεν ἢ *ἀμοθεγέποθεν* = ἐξ ἑνός γέ του τόπου. Λέγεται δ' ἀείποτε *ἀμῶς γέ πως* ἢ *ἀμωσγέπως*, τουτέστιν ἑνί γέ τῳ τρόπῳ ἢ ἐξ ἑνός γέ του τρόπου, καὶ *ἀμοῦ γέ που* ἢ *ἀμουγέπου* καὶ *ἀμῇ γέ πῃ* ἢ *ἀμῃγέπῃ* καὶ *ἀμοῖ γέ ποι* ἢ *ἀμοιγέποι*. Τὸ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα (λ. *ἀμηγέπη*) φερόμενον *ἀμωσγέποι* μετετύπωσεν εἰς τὸ *ἀμοσεγέποι* ὁ Κοβῆτος ἐν *Collect. Crit.* σελ. 163 (Πρβ. καὶ *Var. Lect.* σελ. 255). Τὸ ἀριθμητικὸν ἐπίθετον *ἀμός* ἁπλοῦν ἀπέβη ἄχρηστον, ἐσώθη δὲ παρὰ τοῖς Ἴωσι μετὰ τοῦ *οὐδέ* καὶ *μηδέ* συγκείμενον, ἀλλ' ἐν μόνῳ τῷ πληθυντικῷ ἀριθμῷ, οἷον *οὐδαμοί* καὶ *μηδαμοί*, ἀνθ' ὧν οἱ Ἀθηναῖοι ἔλεγον *οὐδένες* καὶ *μηδένες*. Παρὰ τῷ Θεοκρίτῳ Εἰδ. ΚΒ', στίχ. 69 διττὴν ἔχουσιν οἱ κώδικες γραφήν, «οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης» καὶ «οὐ σύ με *ἀμός*». Ὁ Μεινέκιος ἐξέδωκεν «οὐ γύννις *ἀμός* κεκλήσεθ' ὁ πύκτης» ἀκολουθήσας τῷ Ἀουπτίῳ, ὅστις πρὸς βεβαίωσιν τοῦ *ἀμός* ἐμνημόνευσε τὸ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 95, 21 «ἔστιν ὄνομα *ἀμός* ἰσοδυναμοῦν τῷ *τις* Δωρικῶς» καὶ τὸ ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις Α, 10 «παρὰ τοῖς Δωριεῦσιν ἔστιν ὄνομα *ἀμός* ἰσοδυναμοῦν τῷ *τις*» (Ἴδε Μεινέκιον ἐν τῇ Γ' ἐκδόσει τῶν Βουκολικῶν Ποιητῶν σελ. 349). Ἀλλὰ τὸ *ἈΜΟΣ* ἢ *ἉΜΟΣ* ἦτο ἰσοδύναμον τῷ ἀριθμητικῷ ἐπιθέτῳ *εἷς*, οὐχὶ τῇ ἀορίστῳ ἀντωνυμίᾳ *τις*. Δὲν φαίνονται ἐπαινετὰ τὰ ὑπὸ τοῦ Λοβεκκίου γεγραμμένα ἐν τοῖς Στοιχείοις Τόμ. Α', σελ. 44. Συνήθη τοῖς Ἕλλησιν εἶνε τὰ ἐπιρρήματα *οὐδαμῶς* καὶ *μηδαμῶς*. Πρβ. *οὐδαμῇ - μηδαμῇ*, *οὐδαμοῦ - μηδαμοῦ*, *οὐδαμόθι - μηδαμόθι*, *οὐδαμοῖ - μηδαμοῖ*, *οὐδαμόσε - μηδαμόσε*, *οὐδαμόθεν - μηδαμόθεν*. Ἐσχηματίσθη δὲ καὶ ἐπίθετον *οὐδαμινός* συνωνυμοῦν τῷ *οὐτιδανός* καὶ σημαῖνον ὅ τι τὸ καθ' ἡμᾶς δημῶδες *τιποτένιος*. Ἐν Ἀττικῇ ἐπιγραφῇ εὑρέθη γεγραμμένον *μηδὲ ἀμοῦ* (Ἴδε Ἑρουερδῆνα ἐν *Lapid. Testimon.* σελ. 61). Πάντα ταῦτα μέλλομεν μετὰ πολλῆς ἀκριβείας ἐν ἄλλῳ τόπῳ νὰ ἐπεξέλθωμεν ποιούμενοι λόγον καὶ περὶ τοῦ *ναιδαμῶς* καὶ περὶ τοῦ ἐν τοῖς ἀντιγράφοις τοῦ Θουκυδίδου (βιβλ. Ε', 77) φερομένου *ἀμόθι - ἀμόθει - ἀμοθεί*.

Ἐκ τοῦ *ἉΜΟΣ* παρήχθη καὶ τὸ *ἀμάκις*, ὡς ἐκ τοῦ *πέντε* τὸ *πεντάκις* καὶ ἐκ τοῦ *ἕξ* τὸ *ἑξάκις*, κτλ. καὶ ἐκ τοῦ *ὀλίγος* τὸ *ὀλιγάκις* καὶ ἐκ τοῦ *μανός* τὸ *μανάκις* καὶ ἐκ τοῦ *παῦρος* τὸ *παυράκις* (*παυράκι*), κτλ. Ἡσύχ. «*Ἄμακις*: ἅπαξ. Κρῆτες». Ὁ Κόβητος ἐν τῇ

Μνημοσύνη 1881, σελ. 364 μεταγράφει *ἀμάκις*· καὶ ὁ Ἀρήνσιος δ' ἐν τῷ περὶ Δωρικῆς Διαλέκτου σελ. 85 καὶ 282 δοξάζει ὅτι τὸ ὀρθὸν εἶνε *ἀμάκις*. Κεῖται δὲ παρὰ τῷ Ἡσυχίῳ καὶ «*Ἀματίς*: ἅπαξ. Ταραντῖνοι», ὅπερ ἐσφαλμένην ἀνάγνωσιν τοῦ *ἀμάκις* νομίζει ὁ Ἀρήνσιος. Ὑπολαμβάνουσι δ' ἄλλοι τε καὶ ὁ Κόβητος ὅτι ἐκ τοῦ *ἀμάκις* ὑφαιρέσει τοῦ Ι καὶ τροπῇ τοῦ Μ εἰς Π ἐγένετο τὸ *ἅπαξ* (Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ*. σελ. 131, σημ. 21 καὶ σελ. 464, σημ. 11 καὶ ἐν *Στοιχ*. Τόμ. Α', σελ. 43 καὶ 293 καὶ Κόβητον ἐν *Μνημοσ*. 1881, σελ. 364. Πρβ. καὶ Οἰκονομίδην ἐν *Σημειώσ. εἰς Ἐποίκ. Λοκρ. Γράμμ*. σελ. 60). Ἀλλὰ δὲν φαίνεται ἡ γνώμη αὕτη εὐπαράδεκτος (Ἴδε Ἀλλῆνα ἐν *Stud. Curt*. Τόμ. Γ', σελ. 240 καὶ Γ. Μευῆρον ἐν *Griech. Gramm*. σελ. 18 καὶ 322. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 144). Ὁ μακαρίτης Μαυροφρύδης γράφει ἐν τῷ Δοκιμίῳ Ἱστορίας τῆς Ἑλληνικῆς Γλώσσης σελ. 570 «Τὸ *ἁ-πλόος* σύγκειται ἐκ τοῦ ἅ = τῷ παλ. *sa*, ὅθεν καὶ τὰ *sam* (σκρ. = μετά, σύν), *συν*, *cum* λατιν.—Ὅθεν *ἁπλόος = ὁ μόνος (εἷς) ὑπάρχων* (ὤν)· εἶνε δὲ τὸ *ἁ* τοῦτο ταὐτὸν τῷ ἑνωτικῷ ἢ ἀθροιστικῷ λεγομένῳ *ἁ* καὶ ὕστερον *ἀ*, αἰολιστὶ δὲ *ο*, ἐν τοῖς ἅ-παξ, ἅ-πας, ἀθρόος, ἀδελφ-ειός, ἄ-λοχος, ὄ-πατρος, ὄ-ζυξ κλ. Τὸ δὲ *ἅπαξ* κατὰ μέν τινας σύγκειται ἐκ τούτου τοῦ *ἁ* (ἐδῶ τὸ *ἓν* σημαίνοντος, καθὼς καὶ ἐπὶ τοῦ ἁπλόος) καὶ τῆς ῥίζης *παγ*, ὅθεν πήγνυμι—κατὰ δὲ ἄλλους προῆλθε κατὰ τροπὴν τοῦ μ εἰς π καὶ συστολὴν τῆς συλλαβῆς *κις* εἰς *ξ* ἐκ τοῦ *ἀμάκις* (= ἅπαξ παρὰ Κρησὶ καὶ Ταραντίνοις καθ' Ἡσύχιον)» (Ἴδε Κούρτιον ἐν *Grundz. d. Griech. Etym*. σελ. 392 ἐκδ. ε' καὶ Βανισέκιον ἐν *Etymol. Wœrterb*. σελ. 972). Ὁ Δοιδερλῖνος λίαν περὶ τὰς ἐτυμολογίας εὐχερὴς ὢν καὶ παντὸς ἄλλου μᾶλλον αὐτοσχεδιάζων καὶ παραδοξολογῶν ἀποφαίνεται ἐν τῷ Ὁμηρικῷ Γλωσσαρίῳ § 2083 ὅτι τῷ ἐπιθέτῳ *ἁπλόος* συζυγεῖ ἐπίρρημα *ἁπλάξ*, τοῦτο δέ, ἐκβαλλομένου τοῦ Λ καὶ τοῦ τόνου διὰ τὴν ἐκβολὴν ταύτην ἀναβιβαζομένου, μεταπίπτει εἰς τὸ *ἅπαξ*.

Μνημονεύει δ' ὁ Ἡσύχιος καὶ ἐπίρρημα *ἀμῦς (ἁμῦς)* λέγων «*Ἀμῦς*: ὁμοῦ, σὺν αὐτῷ». Πρβ. τὸ «*ὅπυς κα δοκῇ κτέ*.» = ὅποι ἂν δοκῇ (παρὰ Διττεμβεργήρῳ *Syll. Ἐπιγρ. Ἑλλ*. σελ. 623). Περὶ τοῦ *ἀμῦς* ἢ *ἁμῦς* ἐποιήσατο λόγον ὁ Ἀρήνσιος ἐν τῷ περὶ Δωρικῆς Διαλέκτου σελ. 368. Ὁ Οἰκονομίδης ἐν τῇ Λοκρικῆς Ἐπιγραφῆς Διαφωτίσει

σελ. 112 νομίζει ὅτι ὑπὸ τοῦ Ἡσυχίου ἐγράφη «ἉΜΥ: ὁμοῦ σὺν αὐτῷ», τουτέστιν «Ἁμῦ: ὁμοῦ» καὶ «Ἅμ᾽ ὑ (=οἱ): σὺν αὐτῷ». Παντὶ δὲ φανερὸν εἶνε ὅτι καὶ τὸ περὶ οὗ ὁ λόγος ἐπίρρημα ἐκ τοῦ *ἁμός* ἐγένετο. Ἐν τῇ ἐπικῇ διαλέκτῳ φέρεται καὶ ἐπίρρημα *ἄμυδις* ὁμοίως τῷ *ἄλλυδις* ἐσχηματισμένον. Ὁ Ἡρωδιανὸς γράφει ἐν τῇ Ἰλιακῇ Προσῳδίᾳ (Ἰλ. Ι, 6) «Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ *ΑΜΥΔΙΣ*, ἐπεὶ παρὰ τὸ *ἅμα* ἐγένετο· ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσι, πολὺ δὲ πρότερον καὶ οἱ περὶ τὸν Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι· *ἡμέρα ἦμαρ, ἡδονὴ ἦδος*· πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς· *πάντ᾽ ἄμυδις κεφαλῆς*. Ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ *ἄλλυδις* καὶ *ἄμυδις* καὶ ἐξαιρέτως τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἢ διὰ τοῦ Υ ἐξηνέχθησαν. Ἐχρῆν οὖν *ἀμάδις* τι εἶναι, ὡς *χαμάδις*· τροπὴ δὲ τοῦ Α ἐγένετο εἰς τὸ Υ· καί, ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα». Ἐδήλωσε δ᾽ ὁ Ἡρωδιανὸς τὴν περὶ τοῦ πνεύματος τοῦ προκειμένου ἐπιρρήματος γνώμην αὐτοῦ καὶ ἐν τῇ Ὀδυσσειακῇ Προσῳδίᾳ (Ὀδυσσ. Δ, 659) εἰπὼν «*Ἄμυδις*: ψιλωτέον τὸ *ἄμυδις*· δῆλον κἀκ τῆς συναλοιφῆς· *οἵ τ᾽ ἄμυδις κονίης*» (Ἴδε Λαρόχην *Die Homer. Textkr.* σελ. 190 κἑξ. Πρβ. καὶ Κούρτιον *Grundz. d. Griech. Etym.* σελ. 323 ἐκδ. ε΄ καὶ Μειστῆρον *Die Griech. Dial.* Τόμ. Α΄, σελ. 57).

Ὀλίγους ἴσως τῶν περὶ τὰ Ἑλληνικὰ ἀσχολουμένων γράμματα λανθάνει ὅτι συγγενῆ τινες τὸ *εἷς* καὶ *ἁμός* νομίζουσιν εἰς τὴν αὐτὴν ῥίζαν, *SA* : *SAM* : *SAMA*, ἀμφότερα ἀναφέροντες, οἷον

SAM ἢ *SAMA*-*ἁμ* ἢ *ἁμο* καὶ *SAM*-*ἑμ*.

ἁμ ἢ *ἁμο*-*ἁμός* καὶ *ἑμ*-*ἑν*-*ἕνς*-*εἷς* (ἢ *εἷς*=*ἕνς*=*ἕμς*=*σέμς*).

